Παιδεία, καὶ λόγος, καὶ ἀρετὴ μέγα τι χρῆμα καὶ στεῤῥὸν περιτείχισμα τοῖς ταῦτ' ἔχουσι γίνεται. Διὸ καὶ πάντας χρῆναι μεταδιώκειν καὶ μὴ ῥᾳθυμεῖν περὶ τὰ τοιαῦτα μηδ' ἀναβάλλεσθαι, ἀλλὰ σπουδάζειν καὶ σὺν ἱδρῶτι ζητεῖν ἐθέλειν ἥγημαι· ἐν πάσῃ γὰρ ὥρᾳ τε καὶ ἡλικίᾳ καὶ πράγματι χρήσιμα ταῦτα τοῖς κτωμένοις ὄντα τυγχάνει, τοὺς μὲν εὐτυχοῦντας παιδεύοντα πρὸς τὸ μὴ μέγα φρονεῖν ἐν ἑώλοις πράγμασι καὶ ῥευστοῖς, τοὺς δὲ κακῶς πράττοντας μὴ ὀλιγωρεῖν μηδ' ὀργίζεσθαι, εἴπερ ἄρα κακῶς πράττουσι πεπαιδευμένοι τινὲς ὄντες καὶ λόγῳ τετιμημένοι. Ψυχῆς γὰρ ἀρεταὶ τὸ δύνασθαι φέρειν πάντα μεγαλοψύχως, ὥςπερ κακία ταύτης τὸ ὀλιγωρεῖν καὶ μὴ ἀντέ-

[1] Ἴδε Δουκαγγ. Famil. August. Byzantin. σελ. 210. Venet. καὶ *Ἑλλην. Πατρολ.* τόμ. ΡΝ', σελ. 843.

χεσθαι τῶν λυπούντων. Οὐ γὰρ οἱ ὑγιαίνοντες καὶ μέγα πλουτοῦντες εὐδαίμονες εἰσίν, ἀλλ' οἱ τὴν ψυχὴν εὖ διακείμενοι. Καλῶς δὲ διακείσεταί τις, εἰ μάθοι τίνα εἰσὶ τὰ καλὰ καὶ ἐπαίνων ἄξια, τίνα δὲ τὰ κακὰ καὶ φευκτά. Καὶ γάρ, ὥςπερ ἐκ φιλοπονίας πλῆθος οὐσίας, οὕτω καὶ ἐκ φιλομαθίας πλῆθος σοφίας. Διὸ ταύτην ἀσκητέον, ὦ θύγατερ, ἣ τῶν παρῳχηκότων, καὶ ὄντων, καὶ μήπω γεγενημένων παρέχει τὴν γνῶσιν. Ὁ γὰρ τἀληθῆ γινώσκων οὐκ ἂν ἐν τοῖς ἔργοις ἁμάρτοι ποτέ· ὁ δὲ μὴ μαθὼν τὰ χρηστὰ οὐδὲν ἐργάσεται τῶν δεόντων. Καὶ γάρ, ὥςπερ ἀμαθία κυβερνήτου ἑαυτὸν καὶ τοὺς ἐπιβάτας σὺν τῷ σκάφει καταποντίζει ἐν μέσῳ πελάγει, οὕτω καὶ ἀμαθία ψυχῆς ἑαυτὴν καὶ τὰς ἐν αὐτῇ ἀρετὰς σὺν τῷ σώματι καταποντίζει λήθης πελάγει. Πῶς δὲ καὶ τὰ ἐπαίνων ἄξια γνώσεταί τις, εἰ μὴ διδαχθεὶς ἐν τίσι χαίρουσιν ἄνθρωποι, καὶ ἐν τίσιν ἀηδῶς διατίθενται; καί, ὡς ἔπος εἰπεῖν, ἐκ τοῦ μανθάνειν πάντα γίγνεται τὰ καλά, ἐξ ἀμαθίας δὲ τὸ ἀνάπαλιν.

Ὅτι δὲ μέγα τι χρῆμα ἡ φιλομαθία ἄκουε, θύγατερ, συνετῶς, καὶ μὴ κατόκνει περὶ παιδείαν καὶ μάθησιν. Τῇ Αὐτοσοφίᾳ πάντως κατ' οὐδὲν ἐστί τι μέρος τῆς ἀμαθίας, ἀλλὰ τὰ πάντα πρὸ τοῦ γενέσθαι ἐπίσταται, καὶ μετὰ τὸ γενέσθαι γινώσκει, καὶ οἶδε σαφῶς ἑκάστου τὰ τέρματα. Ἀλλὰ τὴν φιλομαθίαν παιδεύων ἡμᾶς αὐτοῖς ἔργοις καὶ λόγοις, πρῶτον μὲν ἐνετείλατο τὰς Γραφὰς ἐρευνᾷν [1] καὶ μανθάνειν αὐτῶν τὰς ἐννοίας· εἶθ' οὕτως αὐτὸς ἐζήτει μαθεῖν, ἃ οὐκ ἠγνόει, ὁπόσοι τυγχάνουσιν ὄντες ἄρτοι τοῖς μαθηταῖς [2], καὶ τίνα αὐτὸν οἱ ὄχλοι νομίζουσιν εἶναι [3], ποῦ δὲ καὶ ὁ φίλος κεκοίμηται Λάζαρος [4], καὶ ἄλλα πολλά, ἃ μὴ χρείαν εἶχε μαθεῖν· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ· ἀλλὰ δῆλον, ὡς ἡμᾶς διδάσκων μὴ ταῖς ἡμῶν μόνον ἐθέλειν ἀρκεῖσθαι γνώσεσιν, ἀλλὰ μανθάνειν ζητεῖν ἀεὶ παρὰ τῶν τὰ πλείω εἰδότων· μὴ μόνον δὲ τοῦτο, ἀλλὰ καί τι μέγα μυστήριον τῷδε τῷ τρόπῳ φιλανθρώπως ἡμῖν ἀνεκάλυψεν. Εἰ μὲν γὰρ ἐν τῷ τοῖς ἀνθρώποις συναναστρέφεσθαι τὸ ζητεῖν αἱρεῖσθαι δεδήλωκεν, ἐδόκει ἂν καὶ ἐν τῷδε τῷ βίῳ τὸ συγκεχωρηκὸς ἐνορᾶσθαι μόνον τῆς μαθήσεως. Ἐπεὶ δὲ καὶ μετὰ τὸ σωτήριον πάθος, καὶ τὸ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι καὶ ἀποθέσθαι τὸ ὑλικὸν πᾶν τῆς σαρκός, πάλιν

[1] Ἰωάν. ε', 39.
[2] Ματθ. ιε', 34.
[3] Ὁ αὐτ. ις', 13.
[4] Ἰωάν. ια', 11.

ἠρώτα τοῖς μαθηταῖς [1], εἰ βρώσιμόν τι τυγχάνει παρὸν αὐτοῖς[2], καὶ συνελάβοντο ἰχθύας ἀγρεύοντες, δείκνυσι περιφανῶς, ὡς καὶ μετὰ τὸ ἀποθέσθαι τὴν ὕλην, πάλιν ἔσεται μάθησις τοῖς ἀνθρώποις. Εἰ δὲ καὶ τότε μανθάνειν ἀνάγκη, καὶ οὐχ ἅμα μαθεῖν ἔνι ὁπηνίκα καὶ τὸ παχὺ πᾶν ἀποθώμεθα τῆς σαρκός, πόσῳ γε μᾶλλον σήμερον, ὅτ' ἐφ' ἑαυτοὺς ἡλίκης ὕλης ἐπιπροσθούσης καὶ οὐκ ἐώσης ἡμᾶς καθαρῶς τὰ ὄντα γινώσκειν, ἐνδεεῖς ἐσμὲν μεγίστης χειραγωγίας; φημὶ δὴ τὴν ἐκ τοῦ φιλοπονεῖν ἐπιγιγνομένην ἡμῖν μάθησιν.

Καὶ τί χρὴ λέγειν περὶ ἀνθρώπων ἐνδεδυμένων παχυτάτους χιτῶνας σαρκός, καὶ ῥερυπωμένους ἐκ φαύλων ἡδονῶν τε καὶ πράξεων, ὅπου γε τὸ καθ' ὥραν ἡ ἄϋλος χερουβικὴ χύσις σοφίας τῇ μαθήσει προκόπτει, καὶ καθαιρόμενοι παρ' αὐτῆς εἶναι τινὲς καὶ φωτιζόμενοι καὶ τελειούμενοι δείκνυνται. Εἰ τοίνυν τοῦθ' ἡμῶν ἐστὶ τὸ ἀξίωμα, ὅτι τῆς ἐκείνων ὀντότητος ἡμῶν ἡ ψυχὴ μετειλήφει, ζητητέον μᾶλλον καὶ κατ' αὐτὴν τὸ καθ' ὥραν μανθάνειν σπουδάζειν, πολλῷ πάντως ἀποδέουσαν τῆς ἐκείνων ἀξίας καὶ στάσεως· ἀλλὰ νῦν μὲν ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγμασιν[3]· ὅταν δὲ τούτων λυθέντων λεπτότερον τὸν αὐτῆς περιβάλληται χιτῶνα, τότε καὶ τῷ ἐκείνων τρόπῳ τὰ ὄντα μαθητευθήσεται, καὶ τὴν αὐτὴν γνῶσιν ἀκριβῶς λήψεται [4], κεκαθαρμένη καὶ ῥύπων ἄτερ τυγχάνουσα. Ἕως δ' ὡς ἐν δεσμωτηρίῳ τῷ σώματι νῦν διάγει, ἀδύνατον ἀΰλως εἰςδέξασθαί τι καὶ ἀμερῶς.

Ταύτῃ τοι καὶ χρεία πολλὴ τῆς ἀερίου ταυτησὶ προφορᾶς, ἵν' ὅπως τὸ ἀγνοούμενον ἐκ τῶν ἑτέρων μανθάνωμεν λόγων τῇ μεταδόσει. Ὁ γὰρ μὴ ἐνταῦθα τὸν ἐνόντα τρόπον μαθών, μετ' ἀγνοίας εἰς τὸν ἐκεῖσε βαδιεῖται τόπον· ὃς δ' ἀπὸ τῶν ὧδε μετὰ παιδείας ἀφίκηται, φανερὸν ὅτι ῥᾳδίως ἐκεῖ καὶ τὰ τέλη μαθήσεται. Τοῦτο δὴ καὶ ὁ πατριάρχης ἡρμήνευσεν Ἀβραάμ, τοῦ Κυρίου παραβολικῶς ἐκφωνήσαντος: «*ἀκουσάτωσαν Μωϋσέα καὶ τοὺς προφήτας*» [5], οὐδὲν ἄλλο πάντως γε διὰ τούτου παιδεύων τοῦ λόγου ἢ τὸ ἐνταῦθα μανθάνειν χρῆναι μελετᾶν, καὶ μὴ σκοπεῖν ἠμεληκότας τῆς σωτηρίας ἐκεῖσε μαθεῖν, ἢ βραχέα ἄττα μαθόντας ἀρκεῖσθαι καὶ μὴ πρόσω χωρεῖν ζητεῖν.

Ὅτι δ' οὐκ αἰσχύνη τὸ πρᾶγμα, οὐδ' ἀλλόκοτον τῆς ἡμῶν φύσεως, γνοίη ἄν τις ἐξ αὐτῶν, οἶμαι, τῶν καθαρωτάτων δοχείων τοῦ πνεύ-

[1] Γρ. *τοὺς μαθητάς*.
[2] Λουκ. κδ', 41.
[3] *Α' Κορινθ.* ιγ', 12.
[4] Τὸ χειρόγρ.: *ψήλεται*.
[5] Λουκ. ις', 25.

ματος τῆς θείας χάριτος· ἐπείπερ καὶ Μωϋσῆς ἐκεῖνος ὁ θεῖα μεμαθηκὼς καὶ ἐγνωκὼς τὰ πρὸ τοῦ γενέσθαι τὸν ἄνθρωπον, τὸν τοῦ λαοῦ μερισμὸν καὶ οἱονεὶ ἀπαρίθμησιν παρ' ἑτέρου μεμάθηκε. Καὶ αὐτοὶ οἱ τῶν θεοκηρύκων πρωτοστάται, οἱ ποταμοὶ τῆς σοφίας καὶ οἱονεὶ δώδεκα τῆς ἐρήμου πηγαί, αἱ ποτίσασαι πάλιν[1] τὸν Ἰσραήλ, καὶ ταῦτ' εἰςδεδεγμένοι τὸ αὐτάγαθον καὶ σοφοποιὸν θεῖον Πνεῦμα ἐν πυρίναις γλώσσαις[2], οὐκ ἠρκοῦντο καθ' ἑαυτοὺς εἰδέναι, ἀλλ' ἐκοινοῦντο πρὸς ἀλλήλους τὸ Εὐαγγέλιον. Αἵ θ' ὑπερκείμεναι τῶν οὐρανίων ταγμάτων δυνάμεις, τὰς ὑποβεβηκυίας τὸν κοινὸν δεσπότην ἀνεδίδασκον, ἵν' ὅπως ἡμεῖς διδαχθῶμεν ὑπείκειν ἐν λογισμῷ καὶ σώφρονι μεταλήψει τοῖς κρείττοσι. Καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ καὶ Πατρὸς Υἱός τε καὶ Λόγος, ὁ πάσης σοφίας δοτήρ, τῇ αὐτοῦ ἀχράντῳ σαρκὶ οὐχ ἅμα τῇ προςλήψει καὶ τὴν σοφίαν ἐνδείκνυσθαι δέδωκεν, ἀλλὰ προκοπτούσης κατὰ τὸ μέτρον τῆς σωματικῆς ἡλικίας, ὡς ὁ θεηγόρος Λουκᾶς ἡμῖν ὑφηγήσατο: «*Ἰησοῦς γὰρ προέκοπτε*, φησί, *σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις*»[3], οὐκ αὐτὸς ἀμοιρῶν τι τῆς σοφίας· Αὐτοσοφία γάρ ἐστι καὶ πάσης γνώσεως καὶ σοφίας ἀρχή, ἀλλὰ παιδεύων ἡμᾶς ὡς οὐδενὶ δυνατὸν ἅμα πάντα γινώσκειν· καὶ διὰ τοῦτο τὴν προςληφθεῖσαν ἀξίαν σάρκα ἐκ τοῦ κατὰ μικρὸν ἐνδείκνυσθαι τὴν σοφίαν πεποίηκε.

Τίς τοίνυν οὕτω διεφθαρμένος τὸν λογισμόν, ὡς ἡγεῖσθαι περὶ αὐτοῦ μὴ χρείαν ἔχειν μαθήσεως, ὅπου γε καὶ αὐτοὶ οἱ ἠλογημένοι νόες καὶ τῆς σοφίας ἀποστάται σφᾶς αὐτοὺς ἀγνοήσαντες, ὅτι δι' ἀλαζονείαν τῆς ὄντως οὔσης ἐκπεπτώκασι ζωῆς, ὡς ἐκ μεταμέλου πολλάκις ζητοῦσι μαθεῖν; Οὕτω διὰ πάντων μέγα τι χρῆμα τὸ τῆς φιλομαθίας. Ὡς ἂν δὲ καὶ ταύτῃ τὸν λόγον[4], σκεψώμεθα. Πᾶν ὅ,τι περ κενὸν ὂν τυγχάνει, ἢ παντελῶς ἀνεπίδεκτόν ἐστι τοῦ πληροῦντος, ἢ ταῦτ' ἐπιδεχόμενον πληροῦται κατὰ μικρόν, μηκέτι τοῦ ἐπιχωριάζοντος ἐφιέμενοι[5] τοῦ λοιποῦ· ἡ δὲ ψυχὴ δεκτικὴ μὲν οὖσα μαθήσεως, ἀεὶ δὲ λαμβάνουσα οὐ πληροῦται, ἀλλὰ μᾶλλον δεκτικωτέρα γίγνεται, καὶ πλειόνων ἐπιθυμεῖ κόρον σχεῖν.

Ἂν δέ τις ἐξεταστικώτερον σκοπεῖ, πρᾶγμά τι κατίδοι τεράστιον καὶ θάμβους ὄντως πεπληρωμένον, πῶς ἡ τῶν πλειόνων γνῶσις πλειό-

[1] Γρ. ἴσως: *πάλαι*.
[2] *Πράξ*. β', 3.
[3] β', 52.
[4] Ἐλλιπὴς ὁ λόγος δοκεῖ.
[5] Γρ. ἴσως: *ἐφιέμενον*.

νων[1] ἀπορίας αἰτία μᾶλλον γίνεται. Καὶ τοῦτό ἐστι τὸ παρὰ Σολομῶντος ῥηθέν, ὡς: «*Πάντες μὲν οἱ χείμαῤῥοι εἰς τὴν θάλασσαν πορεύονται, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη*»[2]· οὐ τὴν ἁλμυρὰν δέ φησι καὶ κυματώδη καὶ θέουσαν, οὐδὲ τοὺς ἐκ χιόνος καὶ ὄμβρων χειμάῤῥους, ἀλλ' αὐτὴν τὴν τῆς θεϊκῆς ἀποῤῥοίας, φημὶ δὴ τοῦ ἐμφυσήματος καὶ τῆς σοφίας δεκτικὴν ψυχήν, καὶ τοὺς ἐν αὐτῇ εἰςβάλλοντας τῶν ὄντων οἱονεὶ χειμέρια ῥεύματα· οὐδὲ γὰρ εἰκῇ τοὺς χειμάῤῥους καλεῖ. Ἀλλ' ἄκουε συνετῶς τοῦ σολομωντείου αἰνίγματος. Αἱ ἀεννάως πηγαὶ ῥέουσαι, ἰδίας ἔχουσαι[3] τὰς ἀρχὰς ἐκ τῆς αἰώρας ἐξερχομένας αὐτῆς, φάναι, τῆς Ἐδέμ, κατὰ τὴν θείαν Γραφήν[4]. Οὐχ οὕτω δὲ καὶ οἱ χείμαῤῥοι ῥέουσιν, ἀλλ' ἐκ τῶν θαλασσίων ἀτμίδων, αἳ καὶ συστᾶσαι γίνονται νεφέλαι, τοῦ ἁλμυροῦ καὶ βαρέος ἀλλοιωθέντος εἰς πότιμόν τε καὶ κοῦφον, εἶθ' οὕτως ἐπὶ τῆς γῆς διακεχυμένου, καὶ αὖθις εἰςβάλλοντος κατὰ θάλατταν. Οὕτω δὴ καὶ τὸ λογιζόμενον ἀτμίδος δίκην ἐξέρχεται τῆς ψυχῆς, κατὰ δὲ τὴν νεφέλην συσταθὲν γίνεται ἐπιστήμη, ἐπὶ δὲ τὸ κρεῖττον ἐλθὸν διακέχυται τῇ γῇ, τουτέστι τῇ σαρκί· εἶθ' οὕτως ἐπὶ τὴν ἰδίαν ἀναστρέφει μητέρα ψυχήν, κρεῖττον ὂν ἢ ὅτε τὴν ἀρχὴν ἐξῆλθεν. Ἡ δὲ τὰ οἰκεῖα λαμβάνουσα οὐκ ἐμπίμπλαται· πᾶν γὰρ τὸ εἰς αὐτὴν ἐμβάλλον ἑαυτῆς ἦν, οὐκ ἄλλοθεν. Ταύτῃ τοι καὶ ὡς ἀχανὲς πέλαγος τῷ ἑαυτοῦ πλάτει σκιδνάμενον οὐ φαίνεται· λόγῳ δὲ κρείττονι καὶ οἱονεὶ σοφωτέρῳ τῇ πολλῇ νοήσει περιθαλπομένη, καὶ οἷον τῇ κατ' αὐτὴν ἀναζέουσα γνώσει, πλείονας τὰς γνωστικὰς ἀτμίδας ἀναπέμπει, αἳ καὶ πλείους τοὺς σολομωντείους ποιοῦσι χειμάῤῥους.

Σκοπῶν δ' ἄν τις ἀκριβῶς τοῦτ' αὐτὸ κατίδοι τεθεωρημένον καὶ περὶ τῆς πρώτης ἐκείνης ἀγγελικῆς ἱεραρχίας· πρηστῆρες γάρ, καὶ χύσις σοφίας; καὶ θείων νοημάτων ἀνάπαυλα κατονομάζονται, ἀλλά, καθὸ σωτήριος λόγος, πολλὴν ἡμῖν ἐπιδαψιλεύεται τὴν περὶ ταῦτα ἔννοιαν: «*ποταμοὶ γάρ*, φησιν, *ἐκ τῆς κοιλίας τῶν περὶ αὐτοῦ πίστιν ἐνθέως εἰςδεξαμένων ῥεύσουσιν ὕδατος ζῶντος*»[5]. Οὕτως ἀτεχνῶς μέγα τι πρὸς συντέλειαν ψυχῆς ἡ περὶ ταῦτα ζήτησις.

Πῶς δ' ἂν τὴν ἀρχὴν τοῦ ἀγαθοῦ σχοίημεν, ἄκουσον Σολομῶντος καὶ αὖθις νουθετοῦντος ἡμῖν: «*Πᾶσαν διήγησιν θείαν θέλε ἀκούειν,*

[1] Γρ. ἴσως: *πλείονος*.
[2] *Ἐκκλησ*. α', 7.
[3] Γρ. ἴσως: *ἔχουσι*.
[4] *Γένεσ*. β', 10.
[5] Ἰω. ζ', 38.

καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε»[1]· ἀφ' ἑαυτοῦ γὰρ γνοίη τις ἂν ἴσως ὅσα περ αὐτὸς εἶδε τοῖς ὀφθαλμοῖς, ἐκ δὲ τοῦ μαθεῖν, ὅσα πάντες εἶδον. Ὅτι δὲ καὶ ἡ μάθησις ψυχὴν σώματι παρασκευάζει μίγνυσθαι, οἱονεὶ μεσότης τις οὖσα ὕλης καὶ ἀϋλίας, καὶ μεγέθους καὶ ταπεινότητος κατὰ τουτουνὶ τὸν μικτὸν ἄνθρωπον, φανερὸν ἐκ τοῦ ταύτῃ τοι κοινωνεῖν ψυχὴν σώματι, καὶ ζωὴν ταύτην ἔχειν, ἢ ταῖς αἰσθήσεσιν ὡς θεραπαινίσι κεχρημένη προςκτᾶται κατὰ[2] τὸ νόημα καὶ γίνεται πρόξενος ἄλλ' ἐξ ἄλλων μανθάνειν, καὶ τῶν αἰσθητῶν τὰ ὑπὲρ αἴσθησιν, καθάπερ τις κλίμαξ ἢ γέφυρα μεταπέμπουσά πως ἡμᾶς καὶ ἀνάγουσα ἐκ τῶν χθαμαλῶν δήπου καὶ γηΐνων πρὸς τὰ οὐράνια. Καί, ὅπερ φύσις οὐ δύναται, τούτου μάθησις παρεκτικὴ γίνεται. Τὰ γὰρ ἡμῶν ἔτη ἐν ἑβδομήκοντα καὶ πρός τι μικρόν· βραχύτατος δ' οὗτος ὁ βίος πρὸς τὸ ἰδεῖν ἔργα Θεοῦ καὶ συνιέναι τὸν πλοῦτον τῆς αὐτοῦ χάριτος, κἂν τῶν λίαν σοφῶν καὶ θεωρητικῶν τις ἐστίν.

Ἀλλ' ἐκ τουτουὶ τοῦ χρήματος τῆς μαθήσεως καὶ τὰ ἐξ αἰῶνος δῆλα γίνεται τοῖς φιλομαθέσι καὶ ἐπιστήμοσιν. Οὔκουν γε λοιπὸν λαμπρότερον ἄν τις εἰς λογισμοὺς τελῶν λάβοι τῆς καθ' ἡμᾶς ἀξίωμα φύσεως· ἡ γὰρ αἴσθησις ἡμῖν τε καὶ τοῖς ἀλόγοις δέδοται. Τί δὴ λοιπὸν κατὰ ταύτην ἐκείνων διενηνόχαμεν, φαίη τις ἂν ὀρθῶς σκοπῶν, καὶ πλεονεκτεῖν ἡμῶν ἔνια κατὰ τοῦτο τὸ μέρος, ἀλλ' ἢ δῆλον ὅτι νοῦ καὶ μαθήσεως ἐσμὲν δεκτικοί, ὅπερ δὴ παντάπασι τῆς ἐκείνων ἀπελήλαται φύσεως; Πῶς οὖν οὐκ ἄτοπον, τὰ μὲν ἄλογα τοῖς ἰδίοις ἐμμένειν ὅροις φιλεῖν, καὶ οὐδὲν ἂν αὐτῶν τούτων μεταβαίη, ἄνθρωπον δὲ μόνον τὴν αὐτοῦ μετατιθέναι φύσιν ἐπιτηδεύεσθαι; τοῦτο γὰρ αὐτοῦ ἰδιαίτατον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι, καὶ ὅσῳ πλείους οἶδε τὰς ἐπιστήμας, τοσούτῳ τῆς ἀλογότητος διενήνοχε· τὸ γὰρ τέλειον ὅσῳ περ ἂν εἴη τελειότερον, τοσούτῳ γε τῶν ἀτελεστέρων καὶ τιμιώτερον. Εἰ δὴ τοῦτ' ἄν τις ἐν ἡμῖν συνεργὸν εἰς τελειότητα λάβοι, ὅπερ ἂν δι' ἐπιστήμης καὶ μαθήσεως γίγνοιτο, ὅσῳ πάντως μαθήσεως ἀποδέομεν, τοσούτῳ τῆς τῶν ἀλόγων κεκοινωνήκαμεν φύσεως.

Σκοπεῖν δέ σε καὶ τοῦτ' ἄξιον. Τὸ γὰρ γελαστικὸν ἐπουσιῶδες ὄν, ἴδιον ἀνθρώπου τυγχάνει. Οὔκουν γε λοιπὸν τούτου χρεία πρὸς τὸ τί εἶναι τὸν ἄνθρωπον· ὃν γὰρ οὐ σώζει, καὶ ἀπὸν οὐ φθείρει. Μὴ γελῶν γὰρ οὐδὲν ἧττον ἄνθρωπος μένει. Καὶ πέφυκε μὲν τοῦτο ποιεῖν· γνώρισμα γὰρ τοῦτο τῆς κατ' αὐτὸν φύσεως, οὐκέτι δ' ἐξ ἀνάγκης καὶ ἀεί. Τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι, οὐσιῶδες ἴδιόν ἐστιν αὐτῷ.

[1] Τὸ ῥητόν ἐστιν οὐχὶ τοῦ Σολομῶντος, ἀλλὰ τοῦ Σειράχ. *Σοφ.* ς', 35.

[2] Γρ. ἴσως: *καὶ τό.*

Ταύτῃ τοι καὶ τοῦ ἐπουσιώδους ἐστὶ τιμιώτερον, ὅτι καὶ παρὸν τὴν οὐσίαν σώζει, καὶ ἀπὸν φθείρει· εἰ γὰρ μὴ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικός, οὐδ' ἄνθρωπος· ἐν τῷ τί γὰρ αὐτὸν εἶναι τοῦτο συμβάλλεται, καὶ τοῦτό γε τῇ τούτου οὐσίᾳ πρὸς σύστασιν παρείληπται; διὰ τὴν θύραθεν γνῶσιν καὶ τὰς κατ' αὐτὴν ἐπιγιγνομένας ἡμῖν ἐπιστήμας. Τοίνυν μὴ ζητῶν ἐπιστήμην, οὐδ' ἐνεργείᾳ γίνεται δεκτικὸς ἐπιστήμης. Τὸ δὲ μὴ ἐνεργείᾳ τὸν τοῦ τί ἦν εἶναι λόγον κεκτημένον, οὐδ' οὐσία ἐστίν· ἀδύνατον γὰρ κατ' ἐντελέχειάν τι ὄν, εἰς τὸ δυνάμει ποτὲ ἰέναι· φθείρει γὰρ τὸν τοῦ τί ἦν εἶναι λόγον, ὅπερ ἐστὶν ἡ ἑκάστου μορφὴ καὶ οὐσία κατ' ἐντελέχειαν ἑκάστῳ προςοῦσα· οὐδὲ κυρίως ἄνθρωπος ἂν κληθείη· οὐδὲ γὰρ ἐνεργείᾳ τοῦτ' ἐστίν, ἀλλ', ὡς ἔφην, δυνάμει. Ὥςπερ καὶ ὁ τὰ μουσικὰ μὴ εἰδώς, οὐ λέγεται μουσικός, εἰ, καθὰ ἄνθρωπον, δυνατόν ποτε μουσικὸν αὐτὸν γενέσθαι.

Διττὰς δὲ τὰς παραβολὰς κεκτημένος ὁ ἄνθρωπος, ὅτι καὶ διπλῆς τετύχηκε φύσεως· ἐπίγειος γάρ, φησί, καὶ οὐράνιος, θνητὸς καὶ ἀθάνατος, ὁρατὸς καὶ νοούμενος· ἐν μὲν τῷ προβάλλεσθαι[1] πρὸς τὰ ἄλογα, ἴδιον αὐτοῦ γίνεται τὸ γελαστικόν, ὅπερ ἐστὶ δύναμις τῆς ἀλόγου ψυχῆς ἐνεργουμένη διὰ μυῶν· ἐν δ' αὖ πρὸς τὰ λογικά, νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι· τοῦτο γάρ, ὡς ἄν τις φαίη, τῆς λογικῆς τυγχάνει ψυχῆς, καὶ τοῦτ' ἴδιον ἀνθρώπου λογικοῦ πρὸς τὰ ἐπικοινωνοῦντα καθόλου τῷ λογικῷ. Πόσης οὐκοῦν αἰσχύνης τὸ ἀεὶ χρῆσθαι τῇ τοῦ ἀλόγου ἰδιότητι, καὶ γελᾶν ἐν παντὶ χρόνῳ καὶ ἡλικίᾳ πάσῃ, τῇ δὲ τοῦ λογικοῦ ἐν οὐδενὶ χρῆσθαι καιρῷ γενέσθαι ποτὲ προτιμηθῆναι καὶ ἐνεργείᾳ νοῦ καὶ ἐπιστήμης δεκτικόν; Ὡς δὲ καὶ οἱ ἐν ἐξουσίαις, ὅσοι πλειόνων κυριεύουσι, τρέφουσι δὲ πλείους ἀνθρώπων, ἐπικρατέστεροι τῶν ἄλλων εἶναι φαίνονται, οἱ δὲ τούτων ἀποροῦντες, ἀσθενεῖς τῇ σπάνει τῆς κτήσεως[2], οὕτω καὶ ἡ ψυχή, ὅσῳ πλειόνων ἔχει τῶν μαθημάτων εὐπορίαν καὶ εἰδήσεις ἐπιστημῶν, καὶ τὴν καθ' ἕκαστα γνῶσιν, τοσούτῳ μᾶλλον ἐπικρατεστέρα γίνεται· ἡ δ' ἀμαθὴς ἀντιστρόφως, πένης, ἐκ χειρουργικῆς ἀλογίας ἀποζῶσα. Διὸ καὶ Σωκράτης κρείττονα ἀξιώσας τῶν ἐν γῇ ζῴων τὸν ἄνθρωπον, οὐχ ἁπλῶς τοῦτ' εἴρηκεν, ἀλλὰ καὶ τοῦτο προςέθηκε, παιδείᾳ κεκοσμημένον[3] εἰπών[4],

[1] Γρ. *παραβάλλεσθαι*, ὥςπερ καὶ ἕτερός τις ἐν τῷ περισελίδῳ ἐσημειώσατο.

[2] Τὸ βερολίνειον χειρόγρ.: *κτίσεως*. Ἀπὸ τῆς λέξεως δὲ ταύτης ἄρχεται τὸ ἐν αὐτῷ περισωθὲν τεμάχιον.

[3] *κεκοσμημένος*.

[4] Εἰς Ἀριστοτέλην ἀναφέρεται τὸ ἀπόφθεγμα παρὰ Στοβαίῳ· οἷον: «*Οὗτος* [Ἀριστοτέλης] *ἐρωτηθεὶς Τί τῶν ζῴων κάλλιστον, ἔφη, Ἄνθρωπος τὴν ψυχὴν*

ὅπερ μοι λίαν σοφὸν καὶ ἀληθὲς εἶναι δοκεῖ. Καὶ γάρ, ὡς τὰς πόλεις κοσμεῖ τὰ ἀγάλματα, καὶ ναῶν λαμπρότητες, καὶ θεάτρων τερπνότης, καὶ ὅσ' ἄλλα[1] τούτοις παρόμοια, οὕτω καὶ τὸν μικρὸν κόσμον καὶ ὑπὲρ τοὺς οὐρανοὺς ἀναβαίνοντα τουτονὶ τὸν ἄνθρωπον διακοσμεῖ τὰ μαθήματα, καὶ ἡ τῶν ὄντων διάγνωσις, καὶ τὸ παιδείαν ἀσκεῖν. Ἄνευ δ' αὐτῶν τυφλὴν τὴν φύσιν οἱ σοφοὶ ἀπεφήναντο. Τίς δ' οὕτως ἐστερημένος ζωῆς, ὡς ἂν ἑκὼν ἕλοιτο τυφλὴν ἔχειν[2] τὴν φύσιν; Πόσης δὲ δυστυχίας ἐστί, τὸ τὰ μὲν ἄλογα τέχνας μιμητικὰς πρὸς ἀνθρώπους ἀποβλέποντα μανθάνειν, οἱ δ' ἄνθρωποι τὰ τῇ σφῶν αὐτῶν φύσει προςπεφυκότα μανθάνειν ἀμελεῖν; Καὶ ὅπως μὲν τὴν ἀνήροτον γῆν ἐξημερώσωσι διὰ σπουδῆς τίθενται, τῶν φυτῶν τε τὰ ἄγρια[3] μετακεντρίζοντες εἰς εὔκαρπα μεταβάλλουσι, τὴν δὲ τῆς ψυχῆς ἡμερότητα περιορῶσιν ἐξαγριαίνειν τῇ ἀμαθίᾳ.

Διό περ, οὐ τοῖς νέοις μόνον προςῆκον ἡ μάθησις, ἀλλὰ καὶ πρεσβύταις καὶ τριπεμπέλοις· κατὰ γὰρ Φιλιστίωνα[4]: «*Τὰ σπουδαῖα δεῖ*

παιδείᾳ κεκοσμημένος». [Ἴδε τὴν ἐν τέλει τοῦ Στοβαίου Προςθήκην ἐκ χειρογρ. τῆς φλωρεντιακῆς βιβλιοθ. τόμ. Δ', σελ. 36, ἔκδ. Thom. Gaisford. Ὁ μέντοι Ἀντώνιος μοναχὸς ὁ τοὐπίκλην Μέλισσα εἰς Σωκράτην καὶ οὗτος ἀναγράφει αὐτὸ λέγων: «*Ἐρωτηθεὶς Τί τῶν ζῴων κάλλιστον, ἔφη, Ἄνθρωπος παιδείᾳ κεκοσμημένος*» [Βιβλ. Α', Λόγ. Ν'.].

[1] *ὅσα ἄλλα.*

[2] Λείπει τὸ ἀπαρέμφατον.

[3] *ἄγρικα.*

[4] Φιλιστίωνες μνημονεύονται διάφοροι· οἷον εἷς μὲν Λοκρὸς ἰατρός· ἕτερος δὲ *Ὀψαρτυτικῶν* συγγραφεύς· ἕτερος Σικελιώτης ἰατρὸς ὡςαύτως· ἕτερος φίλος τοῦ Πλάτωνος· ἕτερος κωμικὸς Νικαεὺς εἴτε, κατ' ἄλλους, Προυσαεὺς ἢ Σαρδιανὸς ἢ Μάγνης, ἐπὶ καίσαρος Αὐγούστου ἀκμάσας [ἴδε **W. Pape 's Wörterbüch der Griechis. Eigennamen**]. Καὶ οὗτός ἐστιν ἴσως ὁ ἐνταῦθα μνημονευόμενος. Τὸ δ' ἀπόφθεγμα αὐτοῦ οὕτως ἔχει ἐν τῇ ἀνωτέρω μνημονευθείσῃ Προςθήκῃ εἰς τὸ Στοβαίου *Ἀνθολόγιον* σελ. 67: «*Τὰ σπουδαῖα μελέτα, καὶ ἐάν τι παρηχμακὼς μανθάνῃς, μὴ αἰσχύνου· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ*». Καὶ ἄλλα προςέτι τοῦ αὐτοῦ γνωμικὰ φέρονται αὐτόθι ἐν σελ. 11, 33 καὶ 69. Στοβαῖος μέντοι εἰς Σωκράτην ἀναφέρει τὸ λόγιον, οἷον: «*Σωκράτης ἐν γήρᾳ κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαριστῇ ἐτύγχανε· καί τινος εἰπόντος, κιθαρίζεις τηλικοῦτος ὤν; Κρεῖττον, εἶπεν, ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ*» [*Ἀνθολόγ.* κθ', 68.]. Ἀλλὰ καὶ Σέξτος ὁ Ἐμπειρικὸς οὕτω πως λέγει περὶ τοῦ αὐτοῦ: «*Σωκράτης καίπερ βαθύγηρως ἤδη γεγονώς, οὐκ ᾐδεῖτο πρὸς Λάμπωνα τὸν καθαριστὴν φοιτῶν· καὶ πρὸς τὸν ἐπὶ τούτῳ ὀνειδίσαντα λέγειν, ὅτι κρεῖττόν ἐστιν ὀψιμαθῆ μᾶλλον ἢ ἀμαθῆ διαβάλλεσθαι*» [Βιβλ. ς'. *Πρὸς Μουσικ.* σελ. 359. Lips. 1718].

μελετᾶν καὶ τὸν νόμον, ἐὰν καὶ παρηκμακώς τις ᾖ, μανθάνειν μὴ[1] *αἰσχυνόμενος· βέλτιον γὰρ ὀψιμαθῆ εἶναι τινὰ ἢ ἀμαθῆ.* Λόγος γάρ, καὶ παιδεία, καὶ ἐπιστῆμαι, τῶν μεμαθηκότων γίνονται ὑπομνήματα, τῶν δ' ἀμαθῶν βαθύτατα μνήματα· τὸ γὰρ ἀλογηθὲν τῆς ψυχῆς μέρος καὶ οἱονεὶ ἀφαιρεθὲν ἐξ αὐτῆς, τῇ μαθήσει ἀνακαινοῦται[2] καὶ εἰς τὴν προτέραν ἐπανέρχεται τάξιν· καὶ ὡς ἔπος εἰπεῖν, συμπληρωτικὴ τῆς ψυχῆς ἡ μάθησις εἶναι συμβαίνει· ὅτι γε καὶ διὰ μαθήσεως τὴν τῶν κακῶν ἀμαθίαν λαμβάνουσιν ἄνθρωποι, ἀρχὴν δὲ καὶ τῶν λόγων περαίωσιν μὴ πλανᾶσθαί σε σκήπτομαι περὶ μάθησιν, κατὰ τὴν πλατωνικὴν σοφωτάτην παραίνεσιν φάσκουσαν: «*Γνώσεως πάσης ἀρχὴ τῆς ἀγνοίας ἡ γνῶσις*».

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ

ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΘΥΓΑΤΕΡΑ ΚΥΡΑΝ ΘΕΟΔΩΡΑΝ ΤΗΝ ΚΑΝΤΑΚΟΥΖΗΝΗΝ

ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΤΗΣ ΨΥΧΗΣ ΔΥΝΑΜΕΩΝ

Πρότερον μέν σοι, φιλτάτη, τὸν *Περὶ φιλομαθίας* ἀπεστάλκαμεν Λόγον, πατρικῶς ἡμᾶς ἐπαναγκάζοντος τοῦ φίλτρου νουθετῆσαι καὶ παραινέσαι πρὸς μάθησιν, εἰ καὶ τοὺς λόγους καλοὺς δημιουργεῖν μακρὰν ὄντες τυγχάνομεν· νῦν δέ σοι καὶ περὶ τῶν τριῶν τῆς ψυχῆς δυνάμεων γράφειν ἐξεῖναι προὐθέμεθα, ἐξ ὧν περ σοφοὶ καὶ κεκαθαρμένοι[3] τὸν νοῦν ἀκριβῶς πρὸ ἡμῶν ὑπηγόρευσαν. Καλῶς γὰρ καὶ ὡς ἔδει τῆς θείας καὶ νοερᾶς συντελεσθείσης διακοσμήσεως, ὁ αἰσθητὸς οὑτοσὶ κόσμος δεδημιούργηται· καὶ[4] τούτων οὕτως ἀπ' ἀλλήλων ἐν τοῖς σφῶν αὐτῶν ὅροις διεστηκότων, ἕτερός τις ὑπὸ τῆς οὐσιοποιοῦ καὶ ὑπερουσίου δεδημιούργηται φύσεως, ὁ μικτὸς οὗτος ἄνθρωπος, ὁ λόγῳ τετιμημένος καὶ εἰκόνι Θεοῦ καὶ ὁμοιότητι, ὁ καὶ ψυχῇ συντεθειμένος καὶ χοΐ, καὶ τὰς ἐξ ἑκατέρων δυνάμεις ἀσυγχύτους κατ' ἄμφω κεκτημένος. Τριμεροῦς γὰρ οὔσης τῆς θείας ψυχῆς, οὐχ ἁπλῶς οὐδ' ἄνευ ὀργάνων τὰς ἰδίας δυνάμεις ἐνδείκνυται· ἀλλ' ἡ πάντῃ νοερὰ καὶ πόῤῥω πάσης ὑλικῆς διαθέσεως διὰ τῶν ἀλόγων ὀργάνων ἀεὶ ἐνεργεῖ, καὶ ὡς

[1] *παρηκμακῶς τις ᾖ, μὴ μανθάνειν.*

[2] *ἀνακενοῦται.*

[3] *καθαρμένοι.*

[4] Λείπει ὁ σύνδεσμος.

ἐκ ῥίζης μιᾶς εἰς δύο στελέχους μερίζεται, οἷς καὶ τὰς καθ' ὁρμὴν ἐνεργείας ἀποτελεῖ κατ' ἰδίαν ἑκάστῳ φύσιν τε καὶ δύναμιν. Καὶ διὰ μὲν τῆς καρδίας, τῆς τῇ τῶν στελέχων ἀναλογούσης ῥίζῃ, τὸ θυμοειδὲς ἐνεργεῖ, διὰ δὲ τοῦ ἐγκεφάλου[1] τὸ λογικόν, διὰ τοῦ ἥπατος δὲ τὸ ἐπιθυμητικόν. Καὶ ἡ τῶν νεύρων ἀρχή, ἣ καλεῖται ἐγκέφαλος, ἐφ' ὑψηλοτέρας ἕδρας τέτακται· ὑπόκειται[2] δ' αὐτῷ καρδία καὶ ἧπαρ ἀλλήλων[3] ψαύοντα.

Καὶ πρῶτον[4] μὲν ἐν τῇ κυήσει τῶν τριῶν ἀρχῶν ἅμα κειμένων, τὸ συγκεχυμένον ἄν τις κατίδοι, τούτων ἀλλήλων [ἁπτομένων][5] οὐσῶν ἀσθενῶν, καὶ διὰ τὴν ἀδυναμίαν οὐκ ἀφισταμένων ἀπ' ἀλλήλων· τοῦ χρόνου δὲ προϊόντος αἱ εἰρημέναι τρεῖς ἀρχαὶ τονούμεναί πως πρὸς διάστασιν ἀφορῶσιν, εἰς ὅλον τὸ προςπλαττόμενον τοῦ ζῴου σῶμα διαπέμπουσαι βλαστήματα[6], νοτιαῖον μὲν ὁ ἐγκέφαλος, ἀποφύσας οἱόν τι πρέμνον· ἡ καρδία δὲ τὴν μεγίστην ἀρτηρίαν, ἣ καλεῖται ἀορτή· τὸ δ' αὖ ἧπαρ[7] τὴν κοίλην φλέβα· καὶ οὕτω[8] καλῶς ἱσταμένων δι' ἑκάστου αὐτῶν, αἱ τῆς ψυχῆς ἐνεργοῦσι δυνάμεις τῇ συμμετρίᾳ τῆς τούτων χυμώσεως. Τοὔμπαλιν δὲ ναρκοῦνται καὶ ἀνενέργητοι μένουσιν· ἢ ἐνεργοῦσι μέν, συρφετῶς[9] δὲ[10] καὶ ἀλόγως· αἱ γὰρ ἐκ τῆς καρδίας καὶ τῶν ἄλλων μορίων ἀνερχόμεναι ἀναθυμιάσεις, ξηρότεραι οὖσαι καὶ θερμότεραι, ἄχρι τοῦ ἐγκεφάλου ἵστανται, μονὴν ἐν αὐτῷ ποιοῦσαι· τοῦ δὲ ψυχροῦ ὄντος, ἅμα δὲ[11] καὶ ὑγροῦ, καὶ ἀεὶ ἐπιθυμοῦντος ξηρότητος καὶ θερμότητος διὰ τὴν συμμετρίαν, ἡδέως ταύτας[12] λαμβάνει.

Τῆς δ' ἀορτῆς τὸ ζωτικὸν θύραθεν ἑλκούσης πνεῦμα, καὶ ἐν τῷ ἐγκεφάλῳ στελέχους τινὰς ἐχούσης, ἀναζωπυροῦνται[13] [αἱ κατ' αὐτὴν χυμώσεις καὶ ἀναταράττονται][14] αἱ τούτων ποιότητες· τὸ γὰρ ἐπι-

[1] Οὕτω τὸ βερολίνειον χειρόγρ. ἀντὶ τοῦ ἐν τῷ τῆς ἐθν. βιβλιοθήκης ἡμαρτημένου: *ἐγκεφαλαίου.*

[2] *πόκειται.*

[3] *ἢ παραλλήλων.*

[4] *πρώτου.*

[5] Παρελήφθη ἡ λέξις ἐκ τοῦ βερολινείου χειρογράφου.

[6] *βλαστήμα.*

[7] *ἢ παρά.*

[8] *οὕτως.*

[9] Γραπτέον ἴσως: *συρφετωδῶς.*

[10] Λείπει ὁ σύνδεσμος.

[11] Λείπει ὡςαύτως.

[12] *πάντας.*

[13] *ἀναζωπυροῦται.*

[14] Καὶ αἱ ἓξ αὗται λέξεις παρελήφθησαν ἐκ τοῦ βερολινείου χειρογράφου.

λαμβανόμενον πνεῦμα διά τε τοῦ στόματος καὶ τῶν μυκτήρων, εἰς τὸν ἐγκέφαλον μὲν ἀνέρχεται πρῶτον, εἶθ' οὕτως εἰς τὴν κοιλίαν τὸ πλεῖστον μέρος αὐτοῦ· ἔκτοτε δὲ εἰς τὸν πνεύμονα καὶ τὰς φλέβας σκιδνάμενον καὶ εἰς πάντα τὰ μόρια διήκει. Καὶ τὸ μὲν εἰς τὴν κοιλίαν ψύξιν μόνον παρέχει, βοηθοῦν τῷ ἐν τῇ καρδίᾳ θερμῷ καὶ τὰ γειτνιῶντα χωρία ἀναψῦχον· τὸ δ'εἰς τὰς φλέβας ἐμφιλοχωροῦν καὶ περὶ τὰς κοιλίας τοῦ ἐγκεφάλου ἀπεργάζεται φρόνησιν. Καὶ ἅμα τῶν τεσσάρων συνελθουσῶν ποιοτήτων καὶ μιγνυμένων, τὸ λογιστικὸν[1] ἐνεργεῖ συμφωνίᾳ[2] τῆς αὐτῶν στοιχειώσεως. Πλεονασμῶν δέ τινων ἢ ἐλλείψεων γενομένων, νοσεῖ τὰ ὄργανα, καὶ οὐκ ὀρθῶς αἱ τοῦ λογιστικοῦ φαίνονται ἰδιότητες· τοῦ[3] γὰρ θερμοῦ ὑπερθερμαίνοντος[4] ἔκ τινος αἰτίας γεγενημένης ἐν τῇ καρδίᾳ, καὶ τὰς ἀναθυμιάσεις ὑπὲρ τὸ μέτρον ξηροτέρας ἀναπέμποντος, νοσεῖ τὸ ἡγεμονικὸν καὶ ἄλλα ἐπ' ἄλλοις φαντάζεται. Ὁ γὰρ παθητικὸς νοῦς ἤτουν ἡ φαντασία, ἅπερ ἡ αἴσθησις εἶδεν, αὕτη[5] τοὺς τύπους ἀποδεξαμένη ἔχει ἐν ἑαυτῇ καὶ δύναται προβάλλειν μὴ δεομένη τῶν ἔξω κειμένων. Διὸ κἀν τοῖς ὕπνοις ἐνεργεῖ τὸ φανταστικόν, ἀνενεργήτων μενουσῶν[6] τῶν αἰσθήσεων.

Ἐπεὶ δ' ἡ φαντασία διαλύσει ὑπόκειται καὶ φθορᾷ ἐκ τῶν αἰσθήσεων ἀρχομένη τε καὶ συνισταμένη, φθειρομένης αὐτῆς, ἡ τῶν ἐγνωσμένων παράγεται λήθη, ἐπεί περ ἡ νόησις συμπεπλεγμένη τυγχάνει τῇ φαντασίᾳ. Ὅθεν καὶ τὰ νοήματα τῆς ψυχῆς παθήματα λέγονται, μηδὲν πασχούσης τῆς ἀσωμάτου, ἀλλ' ὅτι τοῦ παθητικοῦ νοῦ δίχα οὐδὲν τῶν ἐν κόσμῳ νοεῖν αὕτη πέφυκε. Διὸ καὶ πολλάκις τὰ μὴ ὄντα φαντάζεται, φοινικᾶ τε χρώματα καὶ ἁλουργά, βοθύνους[7] τε καὶ χάσματα καὶ μυχούς, ὑπερθερμανθέντος τοῦ αἵματος, τῆς χολῆς κινηθείσης ἐν ταῖς φλεψί, καὶ ἐκ τῆς εἰωθυίας συστάσεως καὶ κινήσεως παρασυράσης αὐτὸ τῇ θερμάνσει. Μετοχικῶς δ' ἐξ αὐτοῦ[8] καὶ τῶν ἄλλων θερμανθέντων[9] μορίων, ὑπερθερμαίνονται αἱ ὄπισθεν τοῦ ἐγκεφάλου κοιλίαι,

[1] *λογικόν*.
[2] Λείπει ἡ λέξις αὕτη.
[3] *ποῦ*.
[4] Ὀρθότερον ἀντὶ τοῦ ἐν τῷ χειρογρ. τῆς ἐθν. βιβλιοθήκης: *ὑποθερμαίνοντος*.
[5] *αὐτῇ*.
[6] *μὲν αὐτῶν*.
[7] Τὸ χειρόγρ: *βαθύνους*.
[8] *δ' ἑαυτοῦ*.
[9] *θερμαθέντων*.

καὶ τὰ μὴ ὄντα ὡς ὄντα φαντάζεται κατὰ τὴν[1] ὑπεκκαύματος δύναμιν, θερμοτέρου[2] μὲν καὶ καθύγρου τὰ ἀλουργά, ἧττον δὲ θερμοῦ καὶ μετρίας οὔσης τῆς ὑγρασίας τὰ φοινικᾶ καὶ φαιά, κατὰ τὴν ποικιλίαν τῶν μίξεων, ὡς καὶ ἐν τῷ καπνῷ φαίνεται· ὑγροτέρου ὄντος αὐτοῦ, τὸ σῶμα τῆς φλογὸς ὁρᾶται ἀλουργόν, φοινικοῦν δέ, τοῦ καπνοῦ τυγχάνοντος ἧττον ὑγροῦ· καὶ τούτῳ τῷ τρόπῳ [τὰ][3] διάφορα φαίνεται χρώματα.

Ἀπό τινων δὲ συμπτωμάτων τοῦ καταστήματος ἐναντίου γεγενημένου, ἢ δυνάμει τροφῶν καὶ φαρμάκων ἡ θερμαντικὴ τοῦ αἵματος σβεσθῇ δύναμις καὶ εἰς πῆξιν ἀλλοιωθῇ, μένει τὸ αἷμα ἀκίνητον μηδεμίαν ἀναπέμπον ἀναθυμίασιν· εἰς τὸ οἰκεῖον δὲ μόνον συσταλεὶς ὁ ἐγκέφαλος μένει ψυχρὸς καὶ[4] πάντῃ ἀκίνητος, μηδεμίαν ἔχων ἀπόλυσιν φαντασίας, οὔτε μὴν δοξάζει τῶν ὄντων οὐδέν. Καὶ οὕτω τῶν ὀργάνων νοσούντων, τὸ ἡγεμονικὸν οὐ καλῶς ἐνεργεῖ, ἀλλ' ἀμέτρως καὶ ἀλόγως ἢ παρὰ τὸ δέον ὁρμᾷ, ἢ οὐδαμῶς κινεῖται, καὶ ἀποβάλλεται βουλήν τε καὶ κρίσιν καὶ τῶν καλῶν καὶ κακῶν τὴν διάκρισιν, τὸ ὁμιλῆσαι καὶ συνιδεῖν τοὺς καιρούς, καὶ τὸ μνήμην ἔχειν τῶν προλεχθέντων καὶ ἀγχίνοιαν[5] τῶν μελλόντων, ἀλλ' ἀκρασίαν, ἀγνωμοσύνην τε καὶ ἀμαθίαν προςκτᾶται.

Τούτῳ τῷ λόγῳ κἂν ταῖς ἄλλαις εἰώθει δυσὶ συμβαίνειν ἀρχαῖς, ἥπατι καὶ καρδίᾳ. Ὑπερθερμανθείσης τοιγαροῦν τῆς καρδίας, πρὸς ἀλόγους πράξεις ὁρμᾷ τὸ θυμοειδὲς δι' αὐτῆς ἐνεργοῦσα ἡ ψυχὴ καὶ γίνεται τῇ ἀμετρίᾳ τῆς θερμασίας ἡ ἀκροχολία καὶ ἡ ὀργή, τοῦ τε ἤθους τὸ παροξυντικόν, [τὸ ἀμετάβολόν τε καὶ τιμωρητικόν][6]. Εἰ δ' ὑπό τινος τῶν τροφῶν, ὡς εἴρηται, καὶ φαρμάκων, ἢ καὶ τοῦ αἵματος ὑπερκενωθέντος, καὶ ψύξις ἐν τῇ καρδίᾳ γένηται, παρέπεται[7] ταχέως ὁ θάνατος, εἴπερ σφοδρὰ[8] οὖσα ἡ ψύξις τυγχάνει, ὥςπερ καὶ ἐπὶ τῆς ἐπὶ[9] πλεῖον θερμότητος, ἀπαθοῦς ὄντος τοῦ σώματος καὶ τῆς καρδίας· εἰ δ' ἥττων μὲν ἡ ψύξις, πλεονεκτεῖ δ' ὅμως τοῦ θερμοῦ, παρέπεται τῷ πάσχοντι φόβος, καὶ μάλιστα ὁ περὶ θάνατον, καὶ ὅλως τοῦ ἤθους

[1] Ἐξεῤῥύη ἴσως τὸ ἄρθρον: *τοῦ*.
[2] *θερμότερον*.
[3] Παρελήφθη τὸ ἄρθρον ἐκ τοῦ βερολινείου χειρογράφου.
[4] Λείπει ὁ σύνδεσμος.
[5] *ἀγχινοίας*.
[6] Παρελήφθησαν αἱ πέντε αὗται λέξεις ἐκ τοῦ βερολινείου χειρογράφου.
[7] *γίνεται, παρέπεισε*.
[8] *σφόδρα*.
[9] Λείπει ἡ πρόθεσις.

τὸ φιλόνεικον, καὶ μαχομένους[1] κατ'αὐτοῦ ὁπλίτας φαντάζεται, καὶ ἀλλόμορφα σώματα· πολλάκις δὲ καὶ μετὰ τῶν νεκρῶν δοκεῖ αὐτὸν[2] εἶναι, ἢ καὶ αὐτὸς ἀποθανεῖν βούλεται κατὰ τὴν[3] ψυχροῦ ἀκινησίαν.

Πολλαχῶς δὲ μεριζομένου τοῦ ἐπιθυμητικοῦ, πολλῶν εὐποροῦντος αἰτίων, πολλαὶ καὶ αἱ τούτων γίνονται διαφοραί, αἱ μὲν νοεραὶ καὶ τῆς ὕλης ἐκτός, αἱ δὲ μόνῃ τῇ ὕλῃ μιγνύμεναι, ἄλλαι δὲ κατ' ἀμφοῖν· τὸ γὰρ ἐγκράτειαν ἔχειν τοῦ λογισμοῦ ἐπὶ τὰς φαύλας ἡδονάς, ἀρετή ἐστι τοῦ ἐπιθυμητικοῦ, τοὔμπαλιν δὲ κακία τὸ αἱρεῖσθαι τὰς πονηρὰς ἀπολαύσεις, ὅπερ ἐκ μόνης γίνεται τῆς ψυχικῆς ἐνεργούσης δυνάμεως. 'Ενεργεῖται δ' αὖθις τὸ ἐπιθυμητικὸν καὶ διὰ μόνης τῆς ὑλικῆς διαθέσεως· τὸ γὰρ πλεονάζειν[4] ἀεὶ δεῖται πρὸς ἰσότητα τῆς στερήσεως· κοινὴ γὰρ ὑπὸ τῆς προνοίας ἡ ἰσότης δοθεῖσα, παρὰ πάντων ὁμοίως ζητεῖται 'Η γὰρ ἀνισότης ἀεὶ ἐπιθυμεῖ τῆς ἰσότητος, καὶ τοῦτό ἐστιν ὄρεξις· τὸ γὰρ σῶμα κενωθὲν τῆς ὑγρότητος, ταύτης ἐπιθυμεῖ, πληρωθὲν δ' εὐθὺς ἐπιθυμεῖ τῆς ξηρότητος· τὸ δ' αὐτὸ κἀπὶ τῶν ἄλλων ψυ<χρότητος[5] καὶ θερμότητος.'Εκ τούτου γε καὶ ἡδέα καὶ ἀηδῆ τὰ προσφερόμενα ἡμῖν φαίνεται, καὶ ὧν πρὸ μικροῦ ἐπεθυμοῦμεν, ἀηδῶς μετὰ βραχὺ πρὸς αὐτὰ ἔχομεν, τῶν ἐναντίων πάλιν ἐπιθυμοῦντες, οὐ τῶν τροφῶν ἀλλοιουμένων καὶ τῶν ἰδίων ἀποβαλλομένων δυνάμεων, ἀλλὰ πληρωθέντες ἡμεῖς, τῆς κοινῆς ὀρεγόμεθα ξυμμεμετρίας, ἐξ ἧς καὶ ὑγίεια τῷ σώματι ἐπακολουθεῖ.

Πάλιν δὲ καὶ ἐξ ἀμφοῖν γίνεται ἡ ἐπιθυμία, τῆς ψυχικῆς δυνάμεως διὰ τοῦ σώματος ἐνεργούσης, ὅθεν συμβαίνει γίνεσθαι τὴν ἀκολασίαν. Αἱ γὰρ τῆς ψυχῆς δυνάμεις καὶ διὰ τῶν εἰρημένων ἰδίᾳ ἐνεργοῦσιν ὀργάνων, καὶ κοινῇ διὰ τῆς ἐμπτώσεως τοῦ ζωτικοῦ πνεύματος τοῦ ἐν ταῖς ἀρτηρίαις κινουμένου· ὅθεν καὶ παυομένου, παύονται καὶ αἱ τῶν ψυχικῶν δυνάμεων ἐνέργειαι[6], δυνάμει μόνον ἔχουσαι ταύτας, καὶ ὑπ' ἐγκρατείας τῆς σαρκὸς μαρανθείσης, αἱ σωματικαὶ οὐκ ἐνεργοῦσιν ἐπιθυμίαι. Τοῦ δὲ σώματος τούτου ἐκ τῆς στοιχειώσεως κεκτημένου τὴν κρᾶσιν, ἀναλογεῖ ταῖς τῶν στοιχικῶν χυμῶν ἰδιότησι· τὸ γὰρ θερμὸν αὐτὸ καθ' αὐτὸ τὸν ἄνω τόπον ἐπέχει, ταὐτὸ δ' εἰπεῖν τὸν ἐκτός, καὶ ἐκ τοῦ κέντρου τῆς γῆς οἱονεὶ πρὸς τὴν περιφέρειαν οἰκείως

[1] Τὸ χειρόγρ.: *μαχομένου*.
[2] *αὐτόν*.
[3] 'Εξεῤῥύη ἴσως τὸ ἄρθρον: *τοῦ*.
[4] Τὸ χειρόγρ.: *πλεονάζων*.
[5] 'Ομ.: *ψυχρότης*.
[6] 'Ομ.: *ἐνεργεῖται*.

γενέσθαι ζητεῖ· τὸ δὲ διαμετροῦν αὐτῷ ψυχρὸν τὸ ἀνάπαλιν ἐκ τῶν θύραθεν τὰ ἐντός, κἀκ τῶν ἄνωθεν τὰ κάτω ζητεῖ.

Κέκτηται δὲ θάτερον τὰς αὐτοῦ ἰδιότητας. Καὶ ἡ μὲν κίνησις ἰδία ἐστὶ τοῦ θερμοῦ, τοῦ ψυχροῦ δὲ τὸ ἀκίνητον. Διόπερ τῷ σώματι προςφερόμενα, εἰ μὲν τὴν τοῦ ψυχροῦ κέκτηται ἰδιότητα, ἠρεμεῖν αὐτὸ ποιεῖ, τὴν θερμαντικὴν σβεννύοντα κίνησιν, ἐπικρατήσαντος δήπουθεν τοῦ ψυχροῦ· εἰ δέ γε τὴν τοῦ θερμοῦ, κινεῖσθαι καταναγκάζει τὰ οἰκεῖα μὲν πρῶτα, εἶθ' οὕτω τὰ ἐναντία, ἐπικρατήσαντος δήπουθεν τοῦ θερμοῦ· καὶ οὕτω θερμανθείσης[1] τῆς καρδίας, μετοχικῶς δὲ καὶ τῶν γειτνιώντων χωρίων, ἐκθερμαίνονται οἱ χυμοί, οἱονεὶ[2] ἐκταράττονται καὶ πρὸς τὰς πονηρὰς ὁρμῶσιν ἐπιθυμίας· ἀφαιρουμένων δὲ τῶν κινούντων, καὶ ἡ τούτων μειοῦται ἐπιθυμία.

Ὥςπερ δὲ χαλκείῳ τινὶ ὕδατος καὶ στέατος γέμοντι καὶ παχυτέρων τινῶν ἄλλων ποιοτήτων, εἰ μὲν οὐκ ἔστι τὸ πῦρ αὐτοῖς ἐνεργοῦν, ἀκίνητα καθ' αὑτὰ μένει, τοῦ δὲ πυρὸς ἐνεργοῦντος, αἱ ἐντὸς ἀνακινοῦνται ποιότητες, καὶ πρῶτον μὲν ἡ ὑδατώδης ἐξατμίζει ποιότης οἷα κούφη καὶ λεπτοτέρας οὖσα οὐσίας, εἶθ' οὕτως αἱ πιωδέστεραι κατὰ τὴν τοῦ ὑπεκκαύματος δύναμιν· ἀφαιρουμένου[3] δὲ τοῦ πυρὸς ἐκ τοῦ κατὰ μικρὸν σβέννυται τούτων ἡ κίνησις, οὕτω καὶ τῶν τροφῶν ἀφαιρουμένων, στάσις καὶ ἠρεμία γίνεται τῆς ἀλόγου κινήσεως τῶν χυμῶν, καὶ οἱονεὶ ἐκπυρώσεως. Ὅθεν καὶ οἱ τῶν ἀφροδισίων ἔρωτες μόνοι ὑπ' ἐγκρατείας μαραίνονται, τῶν ἄλλων ἐρώτων μηδαμῶς παυομένων ὑπ' ἐνδείας τροφῶν. Τῷ γὰρ δόξης ἔρωτι, ἢ πλούτου, ἢ ἄλλου τοιούτου τινός, οὐδὲν αὐτῷ πρὸς τὸν ἔρωτα ἡ τῆς τροφῆς καὶ πόσεως ἔνδεια, ἀλλ' ἔστιν ὅτε καὶ πρόξενος· τῷ δὲ τῶν ἀφροδισίων ἔχοντι ἔρωτα ἡ τῆς τροφῆς καὶ πόσεως ἔνδεια παύειν οἶδε[4] τὴν φλόγα· ἡ δ' αὐτῶν διαψίλεια θερμότερον τοῖς χρωμένοις ταμιεύει τὸ ἔκκαυμα.

Διὸ καί τις τῶν πράξει καὶ θεωρίᾳ φιλοσοφούντων, τὸν βουλόμενον μὲν τῶν ἀφροδισίων ἀπέχεσθαι, μὴ ἀπεχόμενον δὲ τῶν θεραπευόντων τὴν γαστέρα, τῷ δι' ἐλαίου σβεννύοντι ἐμπρησμὸν παρομοιοῖ, οἱονεὶ συνεργοῦντι μᾶλλον ἢ τὴν φλόγα σβεννύοντι τῇ τοῦ ἐλαίου ποιότητι[5]· πᾶν γάρ, ὃ τροφῆς ἐστιν ἐνδεές, κατὰ τὴν αὐτοῦ ἰδιότητα ζητεῖ τὴν τροφήν· τὸ δὲ ἐναντίον τῷ ἐναντίῳ οὐκ ἀγαθὴ τροφὴ γίνεται. Καὶ

[1] Τὸ χειρόγρ.: *θερμανθείσει*.
[2] Ἴσως ἐγέγραπτο: *καὶ οἱονεί*.
[3] Τὸ χειρόγρ.: *ἀφαιρουμένων*.
[4] Ὁμ.: *εἶδε*.
[5] Γραπτ. ἴσως: *πιότητι*.

τὸ ἧπαρ κρατὴρ ὂν τοῦ ἐπιθυμητικοῦ, θερμῆς δὲ τυγχάνον ποιότητος, οὐκ ἀγαθὴν ἐκ τῶν ἐναντίων λαμβάνει τροφήν, ἀλλ' ἐκ τῶν συγγενῶν αὔξεται· καὶ δῆλον ἐκ τῆς γεροντικῆς ἡλικίας· τοῦ γὰρ ψυχροῦ τῷ χρόνῳ κρατήσαντος, ἡ θερμαντικὴ τοῦ σώματος σβέννυται δύναμις, ἀποροῦσα τροφῆς· εἶθ' οὕτως ἀμαυροῦται ἡ τῶν ἀφροδισίων ἐπιθυμία, πλεονεκτήσαντος τοῦ ψυχροῦ. Τοῖς γὰρ ἀφ' ἑαυτῶν μὴ βουλομένοις τὰ κρείττω ποιεῖν, ἑτέρους παιδαγωγοὺς δίδωσιν ὁ Θεός, τὸ γῆρας, ἐκκόπτον τὴν τῆς νεότητος ἀλογίαν, ὅτι δὴ τὰ τοῦ σώματος θησαυρίσματα τῆς ψυχῆς ἔνδεια γίνεται, ἡ δ' αὖ τούτου πενία ὄλβος ψυχῶν, καθάπερ ὁ θεῖος καθηρμήνευσε Παῦλος εἰπών[1]: «*ἔξωθεν ὅσον ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔνδοθεν ἀνακαινοῦται*[2] *ἡμέρᾳ τῇ ἡμέρᾳ*». Διὸ τῶν ψυχικῶν μᾶλλον καλῶν ἐπιμελεῖσθαι χρεών.»

Ἰ. Σακκελίων.

ΜΑΡΓΑΡΙΤΟΥ ΕΥΑΓΓΕΛΙΔΟΥ

ΛΟΓΟΣ ΕΙΣΙΤΗΡΙΟΣ

ΕΙΣ ΤΗΝ

ΙΣΤΟΡΙΑΝ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ[3]

Ἢ ποῖον τῶν ἔτι ἀρχαιοτέρων φιλοσοφημάτων θὰ περιεῖχε διαλυτικὰ πρὸς τὴν ἡμετέραν κοινωνίαν στοιχεῖα; Τὸ τοῦ Ἐμπεδοκλέους, ὅστις δογματίζει, ὅτι τὸ σύμπαν τοῦτο ὑπὸ δύο διευθύνεται ἀρχῶν, μιᾶς ἑνωτικῆς καὶ δημιουργικῆς καὶ διακοσμητικῆς, τῆς *φιλίας*, καὶ ἑτέρας διαλυτικῆς καὶ φθαρτικῆς, τοῦ *νείκους*, καὶ ἑπομένως τὸ πολιτικὸν αὐτοῦ σύστημα δὲν ἐδύνατο ἢ ἐπὶ τῆς ἀγάπης καὶ τῆς ἁρμονίας τῶν πολιτῶν νὰ στηρίξῃ; τοῦ Ἐμπεδοκλέους, ὅστις ἐπὶ πολλὰς ἐτῶν περιόδους τῆς τῶν Ἀκραγαντίνων δημοκρατίας διὰ τῆς τοῦ λόγου δυνάμεως καὶ τῆς ἰσχυρᾶς φιλοσοφικῆς διανοίας προϊστάμενος ἀπὸ τῆς πολιτικῆς πείρας φαίνεται μεταγαγὼν καὶ εἰς τὴν μεταφυσικὴν τὰς δύο ταύτας ἀρχάς; Ἢ τὸ τοῦ Ἡρακλείτου, οὗ ἀξίωμα

[1] *Β', Κορινθ.* δ', 16.
[2] Τὸ χειρόγρ.: *ἀνακενοῦται*.
[3] Συνέχεια· ἰδὲ σελ. 217.

εἶνε «εἷς ἐμοὶ μύριοι· οὐ γὰρ πλήθει τὸ ἀληθές, ἀλλὰ φρονήσει κρίνεται»: καὶ φαίνεται ὡς ὑπὸ τῆς φιλοσοφίας ταύτης ἐμπεπνευσμένη ἐκείνη τῶν Ἑλλήνων ἡ μεγαλοφροσύνη, μεθ' ἧς ἀντετάσσοντο εἰς κατὰ μυρίων καὶ τὸν λόγον καθίστων τῶν ἑαυτῶν πράξεων ἡγεμόνα; Ἢ τὸ τοῦ Λευκίππου καὶ Δημοκρίτου, καθ' ὃ ὁ πάγκαλος οὗτος κόσμος ἐκ τῆς συμπτώσεως τῶν ἀτόμων οὕτως ἁρμονικῶς ἀπετελέσθη, ἡ δὲ φθορὰ χωρισμὸς τῶν ἀτόμων τούτων θεωρεῖται, ἑπομένως ἐν τῇ πολιτικῇ ἐφαρμοζόμενον δὲν ἐδύνατο ἢ τὴν ἕνωσιν τῶν πολιτῶν ὡς ἀκρογωνιαῖον λίθον τοῦ πολιτικοῦ ἱδρύματος νὰ ὑποβάλῃ, τὴν δὲ διαίρεσιν αὐτῶν ὡς λώβην καὶ διαφθορὰν τῆς πολιτείας νὰ κηρύττῃ; Ἢ τὸ τοῦ Ἀναξαγόρου, ὅστις κηρύττων, ὅτι νοῦς ἐνυπάρχει ἐν τῇ φύσει καὶ διευθύνει οὕτω σκοπίμως καὶ διακοσμεῖ οὕτως ἁρμονικῶς τὸ σύμπαν, δὲν δύναται ἑπομένως καὶ ἐν τῇ πολιτείᾳ ἢ διάνοιαν συνεκτικὴν καὶ διακοσμητικὴν ν' ἀπαιτήσῃ;

Ἀλλὰ μὴ τοῦ Σωκράτους ἡ φιλοσοφία; Ὦ! ἐν τῷ θείῳ τούτῳ ἀνδρὶ δὲν ἔχομεν φιλοσοφικὸν σύστημα ὑπὸ προκειμένων καὶ συμπερασμάτων, ὑπὸ λόγων καὶ ἀκολουθιῶν ἀποτελούμενον, ἀλλ' ἔμψυχον ὀργανισμόν, ἀλλὰ φιλοσοφίαν σάρκα καὶ ὀστᾶ φέρουσαν· ἔχομεν τὴν θεωρίαν πρᾶξιν, τὰς ἐννοίας ἔργα. Δὲν εἶνε ἀνάγκη νὰ παρακολουθήσῃ τὸν ἀρχηγὸν ὁ ὀπαδὸς αὐτῆς διὰ τῆς διανοίας, ἀλλὰ νὰ διανοίξῃ ἁπλῶς τοὺς ὀφθαλμούς, ἵνα ἴδῃ αὐτὸν πράττοντα· διότι δὲν διδάσκει τὴν ἀνδρείαν ὡς ἀρετήν, ἀλλ' ἐμφανίζεται ἡμῖν ἐν Ποτιδαίᾳ (432 π. Χ.), ἐν Δηλίῳ (424), ἐν Ἀμφιπόλει (422) πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος, τῶν κινδύνων καταφρονητικώτατος καὶ προσφερόμενος ὡς εἰ περιέκλειεν ἐν ἑαυτῷ στρατιᾶς ὅλης δύναμιν. Δὲν διδάσκει ἡμᾶς τὴν περὶ φιλίας θεωρίαν, ἀλλὰ παρίσταται πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ἐπὶ τῷ ἰδίῳ κινδύνῳ τοὺς φίλους καὶ τὰ ὅπλα ἐν τῇ μάχῃ αὐτῇ σώζων καὶ τὰ αὐτῷ προσήκοντα ἀριστεῖα τῷ φίλῳ ν' ἀποδοθῶσι προθυμούμενος. Δὲν ἀναπτύσσει διὰ τῆς ἰσχυρᾶς αὐτοῦ διανοίας τὰ πλεονεκτήματα τῆς ἐγκρατείας ἐπισφραγίζων τὴν διδασκαλίαν αὐτοῦ διὰ τῶν «τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου, καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δ' ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου», ἀλλὰ παρίσταται ἡμῖν αὐτὸς ὁ ἐγκρατέστατος ἁπάντων ἀνθρώπων, ἐλάχιστα μὲν κεκτημένος, πλουτῶν δ' ὅμως ἐν τῇ πενίᾳ αὐτοῦ καὶ πάνυ ῥᾳδίως ἔχων ἀρκοῦντα. Δὲν διδάσκει νὰ πειθώμεθα τοῖς νόμοις, ἀλλὰ παραδίδωσιν ἑαυτὸν ἁγνότατον θῦμα τοῦ ὑψίστου πρὸς αὐτοὺς σεβασμοῦ εἰς τοὺς ἀδίκους αὐτῶν ἐκτελεστάς. Δὲν διδάσκει μόνον ὅτι μητρός τε καὶ πα-

τρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον, ἀλλὰ προσφέρει ὑπὲρ αὐτῆς τὴν πολύτιμον αὑτοῦ ζωήν, ἀποδεικνύει διὰ τοῦ θανάτου αὑτοῦ, ὅτι ἡ πρὸς αὐτὴν ἀγάπη αὑτοῦ ἦτο τοσαύτη καὶ τηλικαύτη, ὥστε προὐτίμησε νὰ συγκαναφύρηται μετὰ τῆς γλυκείας γῆς τῆς πατρίδος, ἄψυχον καὶ νεκρὸν πτῶμα, νὰ θερμαίνωνται τὰ ὀστᾶ αὑτοῦ ἐν τοῖς κόλποις τῆς πεφιλημένης γῆς ἢ ν' ἀποσπασθῇ αὐτῆς καὶ ζῇ μακρὰν τοῦ ἱεροῦ αὐτῆς ἐδάφους. Δὲν ἔχομεν διδασκαλίας θεωρητικὰς περὶ τῶν καθηκόντων τοῦ ἀνθρώπου πρὸς τοὺς ὁμοίους αὐτῷ, ἀλλὰ τοῦτ' αὐτὸ τὴν πρὸς τὸν πλησίον ἀγάπην ἐνσεσαρκωμένην ἐν αὐτῷ, ὅστις καθ' ἅπαντα τὸν βίον αὑτοῦ οὔτε περὶ παίδων οὔτε περὶ γυναικὸς οὔτε περὶ ἑαυτοῦ ἐφρόντισεν, ἀλλὰ περιερχόμενος τοὺς περιπάτους, τὰς ἀγοράς, τὰ ἐργαστήρια καὶ ὅπου ἐδύνατο νὰ εὕρῃ ἀνθρώπους διέχεεν εἰς πάντας ἀφθόνως τὰς εὐεργεσίας συμβουλεύων, διδάσκων καὶ ψέγων τοὺς ἀγνοοῦντας ἑαυτούς.

Δὲν διδάσκει μόνον τὴν ἔνορκον τοῦ καθήκοντος ἐκπλήρωσιν, ἀλλ' ἐν τρικυμιώδεσι καιροῖς πανταχόθεν ὑπὸ πολλῶν καὶ ἰσχυρῶν ἀπειλούμενος ἐκτελεῖ τὸ καθῆκον αὑτοῦ μὴ ἐπιτρέπων ὡς πρύτανις νὰ ἐπιψηφισθῇ ἡ πρότασις τῆς καταδίκης τῶν ἐν Ἀργινούσαις νικητῶν. Δὲν ἔχομεν ἐνταῦθα νοῦν καὶ βούλησιν ἀπ' ἀλλήλων κεχωρισμένα, νοῦν βασιλικῶς ἐπιτάσσοντα καὶ βούλησιν δειλῶς ἀγωνιζομένην νὰ ἐπιτελέσῃ τὸ ἐπιτασσόμενον καὶ ἐν τῇ ἐπιτελέσει ναυαγοῦσαν, ἀλλὰ τοὐναντίον βούλησιν ἰσχύος σωκρατικῆς. Ποῖον λοιπὸν κίνδυνον ἔχει ἡ πολιτεία ἡμῶν ἀπὸ τῆς σωκρατικῆς φιλοσοφίας ; Ἴσως ὅτι θὰ μορφώσῃ μιμητὰς τοῦ Σωκράτους !

Ἀλλὰ διατί λαμβάνω τὰ σοβαρὰ τῆς ἀρχαιότητος φιλοσοφήματα, ἵν' ἀποδείξω τὸ θέμα μου, ἀφ' οὗ καὶ αὐτὰ τὰ ἀποκηρυττόμενα ὑπὸ τῆς φιλοσοφίας ἡδονικὰ συστήματα, αὗται αἱ παραφυάδες τῆς φιλοσοφίας ἐπαρκοῦσι πρὸς ἀπόδειξιν ; Τί πρεσβεύουσιν ὁ Ἀρίστιππος καὶ ὁ Ἐπίκουρος ὡς σκοπὸν τοῦ ἀνθρωπίνου βίου ; Τὴν ἡδονήν, τὸ ῥᾷστα καὶ ἥδιστα βιοτεύειν, τὸ ὡς οἷόν τε ἀλύπως ζῆν. Ἀλλὰ καὶ οἱ ἡδονικοὶ καὶ τρυφηλοὶ οὗτοι ἄνθρωποι συναισθάνονται ὅτι, ἵνα ἔχωσι τὰ μαλακά, ὀφείλουσι νὰ ἐπιδιώκωσι τὰ σκληρά· ἵν' ἀπολαύωσιν ἡδονῆς, ἀνάγκη νὰ ὑποβάλλωνται εἰς πόνους. Καὶ οὗτοι οἱ φιλόζωοι καὶ φιλόψυχοι ἄνθρωποι, ἐὰν θέλωσι νὰ εἶνε ἀκόλουθοι ἑαυτοῖς, ἐὰν ὄντως φιλοσοφῶσιν, ὀφείλουσι νὰ καταφρονῶσι τῆς ζωῆς πολλῷ τῶν ἄλλων προθυμότερον καὶ νὰ προκινδυνεύωσι τῆς πολιτείας μετὰ πολλῷ μείζονος πεποιθήσεως καὶ ὁρμῆς. Διότι ἄνευ πολιτείας

καλῶς ὠργανωμένης, ἀπὸ ἐξωτερικῶν κινδύνων πάμπαν ἀπηλλαγμένης, ὑπὸ τῆς ἀνδρείας καὶ τῆς ἑτοιμότητος τῶν πολιτῶν πρὸς ἐθελοθυσίαν ὠχυρωμένης, πῶς εἶνε δυνατὸν νὰ ἐπιτευχθῇ ἡ εὐδαιμονία, ἣν ἐπιδιώκουσιν; Οὗτοι ὀφείλουσιν ἄρα νὰ εἶνε πολλῷ γενναιότεροι καὶ ψυχῶν καὶ σωμάτων καὶ τῶν ἄλλων ἀνθρωπίνων ἀγαθῶν ἀφειδέστεροι ὑπὲρ τῆς πολιτείας. Ἐὰν δὲ πράγματι φαίνωνται τοὐναντίον, τοῦτο εἶνε φιλοσοφικὴ ἀντίφασις.

Καὶ αὐτὴ δὲ ἡ διδασκαλία τοῦ φοιβολήπτου προστάτου τῆς ἐπικουρείου φιλοσοφίας, τοῦ Λουκρητίου, ἥτις πολεμεῖ τὸν τοῦ θανάτου φόβον ὡς αἰτίαν πάντων τῶν κακῶν τῷ ἀνθρώπῳ, ὡς δηλητηριάζοντα πᾶσαν καθαρὰν ἡδονὴν καὶ ὠθοῦντα τὸν ἄνθρωπον εἰς κακουργήματα, ὡς τυφλοῦντα αὐτὸν εἰς βαθμὸν τηλικοῦτον, ὥστε νὰ μὴ ὁρᾷ ὅτι διώκει τοῦθ' ὅπερ προσπαθεῖ ν' ἀποφύγῃ, ἥτις στηλιτεύει τὴν θήραν τοῦ πλούτου καὶ ἀντιτάσσει αὐτῇ τὴν οἰκονομίαν καὶ τὴν αὐτάρκειαν, ἥτις διδάσκει, ὅτι πολλῷ βέλτιον εἶνε τὸ πείθεσθαι ἡσυχίας ἀπολαύοντα ἢ τὸ ἄρχειν καὶ βασιλεύειν, ἥτις ἐκθειάζει τὸ ὕψος καὶ τὴν θειότητα τῆς ὑπὸ τῶν Ἐπικουρείων μετὰ θερμότητος καὶ ἐνθουσιασμοῦ ἄκρου θεραπευομένης φιλίας, καὶ αὐτή, λέγω, τοῦ Λουκρητίου ἡ διδασκαλία θὰ ἦτο ὑπὲρ πάντα λόγον προτιμοτέρα τῆς νῦν παρ' ἡμῖν κρατούσης ἀνοίας καὶ ἀνερματιστίας· διότι θὰ ἐδίδασκεν ἡμᾶς νὰ μὴ ἀτιμάζωμεν τὸ σεμνὸν τῆς πατρίδος πρόσωπον ὑπὸ φιλοψυχίας, νὰ μὴ διαπληκτιζώμεθα δι' εὐτελῆ κερδάρια, νὰ μὴ ποδοπατῶμεν ὡς ῥάκη ἀποκαθημένης τοὺς νόμους τῆς πατρίδος, νὰ ἔχωμεν μείζονα πρὸς ἀλλήλους ἀγάπην ἢ φθόνον.

Ἀλλὰ δὲν ἀνήκομεν εἰς τὴν ἀρχαίαν φιλοσοφίαν, τὴν κατ' ἐξοχὴν πατριωτικήν, τὴν βαθὺ φέρουσαν τὸ χρῶμα τῆς φυλῆς, τῆς πόλεως, ἀλλ' ἀνήκομεν εἰς τὴν φιλοσοφίαν τὴν νεωτέραν, τὴν κοσμοπολιτικήν, τὴν οὔτε διὰ τειχῶν, οὔτε διὰ φραγμῶν θρησκευτικῶν καὶ διανοητικῶν χωρίζουσαν ἀλλήλων τὰ ἔθνη.

Ἔστω· ἀλλ' εἰς μῆκος μέγα θὰ ἐξετείνετο ὁ λόγος, ἂν ἐπεχείρουν νὰ διεξέλθω τὴν ἠθικὴν φιλοσοφίαν ἑνὸς ἑκάστου τῶν νεωτέρων συστημάτων. Περιορίζομαι νῦν εἰς τὴν ἑξῆς βραχεῖαν ὑπόμνησιν.

Τοῦ Καντίου ἡ φιλοσοφία ἀνύψωσε τὸ γερμανικὸν ἔθνος ἔν τε τῇ πράξει καὶ τῇ θεωρίᾳ ὑπὲρ πάντα τοῦ κόσμου τὰ ἔθνη, τοὺς δὲ Πρώσσους διὰ τῆς αὐστηρᾶς αὐτῆς ἠθικῆς οὕτω προσήλωσεν εἰς τοῦ καθήκοντος τὴν ἐκπλήρωσιν, ὥστε κατέστησεν αὐτοὺς τὴν ἱερὰν ζύμην, τοὺς ἡγεμόνας πασῶν τῶν γερμανικῶν φυλῶν. Χαρακτηριστικὸν πρὸς τούτοις εἶνε καὶ τόδε, ὅτι τῶν Πρώσσων μεγαλοκτηματιῶν, τῶν

ἀπελευθερωσάντων τοὺς δούλους τῶν κτημάτων, πρῶτοι ἦσαν οἱ μαθηταὶ τοῦ Καντίου.

Ὁ δὲ Φίχθιος τηλικοῦτον ὑπεράνθρωπον θάρρος ἤντλει ἐκ τῶν εὐγενῶν αὐτοῦ φιλοσοφικῶν ἀρχῶν, ὥστε, ὅτε ὁ φοβερὸς τῶν Γαλατῶν λέων κατεῖχεν ἀσπαίρουσαν σύμπασαν τὴν Γερμανίαν εἰς τοὺς ὀξεῖς αὐτοῦ ὄνυχας καὶ ἠνωρθωμένην ἔχων τὴν δεινὴν αὐτοῦ χαίτην ἔρριπτε πανταχόσε τὰ φονικὰ αὐτοῦ βλέμματα εἴ που ἤθελεν ἀνακαλύψῃ δειλόν τι ἀνθρώπινον πλάσμα, ἀποπειρώμενον νὰ κινηθῇ ἐλευθέρως, ἵνα κατασπαράξῃ αὐτὸ αὐθωρεί, τότε ὁ Φίχθιος θείας τῷ ὄντι πεπληρωμένος δυνάμεως ὑπὸ τῆς φιλοσοφίας αὐτοῦ, πρὸ τῶν ὀμμάτων, ὑπὸ τοὺς ὄνυχας τοῦ φοβεροῦ λέοντος ὢν ἐτόλμα νὰ κηρύττῃ δημοσίᾳ κατὰ τὸν χειμῶνα τοῦ 1807 - 1808 τοὺς πατριωτικωτάτους ἐκείνους λόγους πρὸς τὸν γερμανικὸν λαὸν ὑπὲρ ἀναστάσεως τῆς πεπτωκυίας πατρίδος.

Ὅτε δ' οἱ καλούμενοι φρόνιμοι προὔβαλον αὐτῷ τὸν μέγιστον κίνδυνον, εἰς ὃν ἐξετίθει τὴν ζωὴν αὐτοῦ, ὅτε ὑπεμίμνησκον αὐτῷ τὰ πρὸς τὴν σύζυγον, τὰ πρὸς τὸν υἱὸν αὐτοῦ καθήκοντα, ὁ θεῖος ἀνὴρ ἀπεκρίνετο «*τὸ ἀγαθὸν εἶνε ἐνθουσιασμός, εἶνε ἔξαρσις· ὁ τῆς ζωῆς μου κίνδυνος οὐδεμίαν ἔχει σημασίαν, μᾶλλον δὲ ἐδύνατο τὰ μέγιστα νὰ ὠφελήσῃ. Ἡ σύζυγός μου καὶ ὁ υἱός μου δὲν θὰ ἐστεροῦντο τῆς βοηθείας τοῦ ἔθνους, ὁ υἱός μου θὰ περιεβάλλετο τὴν λαμπηδόνα, ὅτι ἔχει πατέρα μάρτυρα. Τοῦτο δὲ θὰ ἦτο ὁ ἄριστος κλῆρος. Κάλλιον δὲν θὰ ἐδυνάμην νὰ χρησιμοποιήσω τὴν ζωήν μου*». Ἐξυψῶν δὲ τὸν μὲν ἀγῶνα τῆς πατρίδος αὐτοῦ εἰς ἀγῶνα τῆς ἀνθρωπότητος, ἑαυτὸν δὲ εἰς καθηγεμόνα καὶ σωτῆρα αὐτῆς μέμφεται πικρῶς τοῖς ἐμποδὼν γινομένοις πρὸς τὴν μεγάλην αὐτοῦ ἐπιχείρησιν ἐκ λόγων εὐτελῶν καὶ ἑαυτοῦ ἀναξίων. Λοιπόν, λέγει, χάριν ἑνός, ὅστις οὕτως ὠφελεῖται, καὶ χάριν τῶν φοβουμένων, πρέπει νὰ ταπεινωθῇ καὶ καταποντισθῇ τὸ ἀνθρώπινον γένος καὶ δὲν ἐπιτρέπεται εἰς ἐκεῖνον, εἰς ὃν ἐπιβάλλει τοῦτο ἡ καρδία αὐτοῦ, νὰ προφυλάξῃ αὐτὸ ἀπὸ τῆς πτώσεως; Τί δὲ θὰ ἦτο τὸ ὕψιστον καὶ ἔσχατον, ὅπερ ἐδύνατο νὰ πάθῃ οὗτος; Γινώσκουσί τι ἀνώτερον τοῦ θανάτου; Ἀλλ' ὁ θάνατος ἀναμένει πάντας ἡμᾶς καὶ χωρὶς τούτου, ἀπὸ δὲ τῆς ἀρχῆς τῆς ἀνθρωπότητος εὐγενεῖς ψυχαὶ κατεφρόνησαν τοῦ κινδύνου τούτου καὶ δι' εὐτελέστερα ἔτι πράγματα· διότι ποῦ ὑπῆρξέ ποτε ὑψηλοτέρα τῆς παρούσης ὑπόθεσις; Τίς ἔχει τὸ δικαίωμα νὰ παρέμβῃ εἰς ἐπιχείρησιν ἐπὶ τῷ κινδύνῳ τούτῳ ἀναληφθεῖσαν; Γινώσκω, λέγει, κάλλιστα τί τολμῶ. Γινώσκω ὅτι δυνατὸν ὅπως τὸν Palm

νὰ διαπεράσῃ καὶ ἐμὲ σφαῖρα μολύβδου. Ἀλλ' οὐδέν με πτοεῖ τοῦτο· εὐχαρίστως θὰ ἀπέθνησκον ὑπὲρ τοῦ σκοποῦ μου.

Καὶ καθόλου ὁποιουδήποτε φιλοσοφικοῦ συστήματος καὶ ἂν ἐπισκοπήσωμεν τὰς ἀρχάς, θὰ εὑρίσκωμεν πάντοτε ὡς θαυμαστὴν ἐπῳδὸν τὸ σωκρατικὸν ἐκεῖνο: «Μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσιν».

Οὔτε ἡ πολιτικὴ ἱστορία ἄρα, οὔτε τῆς φιλοσοφίας ἡ ἱστορία ἐπιβεβαιοῦσι τὴν κατὰ τῆς φιλοσοφίας κατηγορίαν, ἀλλὰ πᾶν τοὐναντίον διακηρύττουσι. Δὲν ἠρύσθησαν ἄρα τὴν γνώμην αὐτῶν οἱ τῆς φιλοσοφίας κατήγοροι ἐκ τῆς γνησίας καὶ ἀθολότου πηγῆς, ἀλλ' ἐκ τῶν ἐμπορικῶν τῆς Ἑλλάδος καὶ τῆς ἀλλοδαπῆς ἀγορῶν. Μόνον ἐν αὐταῖς δύνανται ν' ἀκούωνται τὰ ἀξιώματα: ὁ σῴζων σῳζέτω τὴν ἑαυτοῦ ψυχήν, ὅτι ἕκαστος ὀφείλει ν' ἀνυψωθῇ πάσῃ μηχανῇ ἀδιαφορῶν, ἐὰν ὡς κλῖμαξ αὐτοῦ θὰ χρησιμεύσωσι τὰ πτώματα τῶν ὁμοίων αὐτῷ. Μόνον ἐκεῖ δύναται νὰ χωρίζηται ἡ ὑλικὴ τοῦ ἔθνους πρόοδος ἀπὸ τῆς ἠθικῆς καὶ νὰ μὴ ἐξετάζηται ὁ τύπος τῆς κτήσεως, ἀλλὰ τὸ ποσὸν μόνον καὶ ἡ ἀγοραία ἀξία. Μόνον ἐκεῖ δύναται νὰ διακρίνηται ὁ βίος εἰς δύο χώρας, καὶ εἰς μὲν τὴν μίαν τούτων νὰ τάττηται τὸ πράττειν κατὰ τὸ συμφέρον, εἰς δὲ τὴν ἄλλην ἡ ἄσκησις τῆς ἀρετῆς. Οὐδεὶς δύναται ν' ἀρνηθῇ ὅτι ἡ φιλοσοφία, ἣν ἐπιθυμοῦσι ν' ἀποκλείσωσι τῆς Ἑλλάδος, εἶνε ἀπὸ πολλοῦ ἐν αὐτῇ ἐντεθρονισμένη καὶ κατέχει καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν αὐτῆς καὶ ῥυθμίζει τὰς πράξεις καὶ πᾶσαν αὐτῆς κίνησιν.

Πρέπει νὰ εἶνέ τις πολὺ ἀνοήμων ἢ ἄγαν ὑποκριτής, ἵνα μὴ παραδεχθῇ ὅτι τὴν ἡμετέραν κοινωνίαν τοιαύτη ἀκριβῶς διανόησις κυβερνᾷ, ἵν' ἀρνηθῇ, ὅτι δὲν κατέχει τὰς κεφαλὰς πάντων ἡ ἰδιοτέλεια, ὁ ἐγωϊσμός, ἡ ἀδιαφορία πρὸς πᾶν καθ' ἑαυτὸ καλὸν καὶ ἀγαθὸν καὶ ἡ μεγίστη καὶ ἐμπαθεστάτη δραστηριότης πρὸς πᾶν ἡμῖν αὐτοῖς ἢ τοῖς περὶ ἡμᾶς ὠφέλιμον καὶ συμφέρον· ὅτι τὴν ἀλλήλων ἀγάπην ἀντικατέστησεν ἡ φιλαυτία, τὴν τῶν κοινῶν συμφερόντων ἄμυναν ἡ ἐκπόρθησις αὐτῶν, ὅτι τὸ λαμπρὸν ἐκεῖνο καὶ πάτριον, τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν φίλων ἀπέβη θυσιάζειν τοὺς φίλους ὑπὲρ ἑαυτῶν· τὸ ἀποθνήσκειν ὑπὲρ θηκῶν καὶ ἱερῶν καὶ πατέρων κατέστη ἀπεμπολεῖν τὰ τῶν πατέρων σέβη χάριν αἰσχροῦ κερδαρίου· ὅτι τὴν ἑλληνικὴν ἀρετήν, ἤτοι «*τὴν ἕξιν, ἀφ' ἧς ἄνθρωπος γίνεται καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει*», ἀντικατεστήσαμεν διὰ τῆς ἕξεως περὶ τὸ ψεύδε-

σθαι καὶ ἐξαπατᾶν· ὅτι τῶν ἐπιτηδευμάτων καὶ διανοημάτων ἡμῶν τούτων, ὅτι τῆς φιλοσοφίας ἡμῶν ταύτης καινὴν διετυπώσαμεν καὶ ἀρχὴν τὸ «μὴ χάνεσαι».

Μὴ χάνεσαι, ἐὰν φθείρωνται τὰ κοινά! Μὴ χάνεσαι, ἐὰν βλάπτηται ὁ συμπολίτης σου, ἀρκεῖ σὺ νὰ μένῃς ἀβλαβής! Μὴ χάνεσαι, ἐὰν δημόσια συμβαίνωσιν ἀδικήματα, ἀρκεῖ σὺ νὰ μένῃς ἄθικτος! Μὴ χάνεσαι, ἐὰν ὁ δημόσιος πλοῦτος κατασωτεύηται, ἀρκεῖ ἡ σὴ περιουσία νὰ μένῃ ἀκεραία! Μὴ χάνεσαι, ἐὰν οἱ μὲν ἄχρηστοι καταλυμαίνωνται τοῦθ' ὅπερ ὤφειλον νὰ προβιβάσωσιν, αἱ δὲ χρησταὶ τοῦ ἔθνους δυνάμεις ὡς ἄχρηστοι ἐξαφανίζωνται ὀδυρόμεναι, ὡς ὁ ἐν Πλαταιαῖς τῇ τε ἰδέᾳ κάλλιστος τῶν Ἑλλήνων καὶ τῷ σώματι μέγιστος ἐν τῷ στρατῷ ἐκείνῳ, οὐχὶ τὴν ἀπώλειαν τῆς ζωῆς, ἀλλ' ὅτι φθίνουσι καὶ παρέρχονται χωρὶς νὰ χρησιμοποιήσωσιν ἐπ' ἀγαθῷ τοῦ ἔθνους τὰς ἑαυτῶν δυνάμεις! Μὴ χάνεσαι, ἐὰν δημόσια ἀδικήματα μένωσιν ἀτιμώρητα, ἀθῷοι δ' ἐνοχοποιηθέντες ἀδίκως πάσχωσιν, ἀρκεῖ ἡ εὐπάθειά σου, ἡ ἡσυχία σου νὰ μὴ ταραχθῇ ἢ ὑλικόν τι συμφέρον, ἀλόγιστός τις συμπάθεια νὰ θεραπεύηται! Μὴ χάνεσαι, ἐὰν τὰ πάντα ἄνω ποταμῶν χωρῶσιν, ἀρκεῖ τὸ προσφιλὲς τῶν μικροσυμφεροντιδίων ῥυάκιον, νὰ ἐξακολουθῇ τὸν ἤρεμον αὐτοῦ ῥοῦν.

Ἔξωθεν λοιπὸν θὰ εἰσέλθῃ ἡμῖν ἡ φιλοσοφία αὕτη ἣ ἔχομεν αὐτὴν ἐν ταῖς πόλεσιν, ἐν ταῖς οἰκίαις, ἐν τῇ καρδίᾳ, ἐν τῇ ψυχῇ ἡμῶν ἱδρυμένην καὶ διευθύνουσαν ἐκεῖθεν πᾶσαν κίνησιν καὶ νόησιν ἡμῶν; Ἐνῷ ἄρα ὁ ἐχθρὸς εὑρίσκεται ἐντὸς πυλῶν καὶ λυμαίνεται καὶ φθείρει τὰ πάντα, ἡμεῖς θέλομεν ν' ἀποτειχίσωμεν τὰς πύλας, ἵνα μὴ ἔξωθεν εἰσέλθῃ. Ἐκ τῶν παρ' ἡμῖν ἄρα συμβαινόντων καὶ δρωμένων συνεκροτήθη τῆς φιλοσοφίας ταύτης τὸ φοβερὸν εἴδωλον, εἶτα δὲ δι' εὐχεροῦς τῆς φαντασίας πράξεως ἐξεδιώχθη τῶν ὁρίων τῆς Ἑλλάδος, καὶ νῦν ἀπαιτοῦμεν, ἵνα κλεισθῶσιν ἀσφαλῶς αἱ εἴσοδοι, ἵνα μή ποθεν εἰσελάσῃ.

Ἀλλ' εἶνε αὕτη ἡ φιλοσοφία, ἣν οἱ προνοητικοὶ ἄνδρες φοβοῦνται καὶ εἰς ἣν ἐπιθυμοῦσι νὰ μένωσι στερρῶς κεκλεισμέναι αἱ πύλαι τοῦ ἱεροῦ τούτου τῆς σοφίας τεμένους; Πολλοῦ γε καὶ τοῦ παντὸς δεῖ. Ἡ ἀνωτέρω περιγραφεῖσα φιλοσοφία εἶνε ἡ αὐτοσχέδιος διατύπωσις τῶν καταστάσεων κοινωνίας πάντῃ ἀφιλοσόφου, εἶνε ἡ ἔκφρασις πολιτείας κλυδωνιζομένης ὡς νεὼς ἄνευ πυξίδος, ἄνευ πηδαλίου, ἄνευ ἕρματος, ἐν ἑνὶ λόγῳ ἄνευ φιλοσοφίας. Τοιαύτη δὲ κατάστασις τοσοῦτον ἀπέχει νὰ εἶνε φιλοσοφική, ὥστε καὶ εἴ που ἐν τῇ ἱστορίᾳ ἀναφαίνεται, οὐ μόνον δὲν ἀποδέχεται αὐτὴν ἡ φιλοσοφία ὡς ἑαυτῆς οὖσαν, ἀλλὰ καὶ ὡς λύμην καὶ ὡς ἀναίρεσιν τῆς φιλοσοφικῆς διανοήσεως χαρα-

κτηρίζει. Εὑρέθη ποτὲ κατὰ τὸν πέμπτον π.Χ. αἰῶνα ἡ ἑλληνικὴ κοινωνία ἐν τοιούτῳ σάλῳ καὶ ταράχῳ, ὅτε αἱ ἰδιοτροπίαι τῆς αὐθαιρέτου δόξης τοῦ καθ' ἕκαστον ἀνθρώπου ἀντικατέστησαν τὰς ἀδιασείστους κρηπῖδας τῆς ὑγιοῦς φιλοσοφίας· ἀλλὰ τὴν ἀξιοθρήνητον ἀποπλάνησιν ἐκείνην τῆς ἑλληνικῆς διανοίας δὲν ἔχουσι πῶς νὰ στιγματίσωσι καὶ στηλιτεύσωσι δεόντως ὁ Σωκράτης, ὁ Πλάτων, ὁ Ἀριστοτέλης. Ἀνεφάνη καὶ πάλιν ἐν τῇ τοῦ Ἀριστίππου σχολῇ καὶ τῇ τοῦ Ἐπικούρου· ἀλλὰ ταῦτα θεωροῦνται παράσιτα, τὴν καλλονὴν τοῦ λαμπροῦ τῆς φιλοσοφίας δένδρου ἀσχημίζοντα, ἅπερ αὐτὴ ἔσπευσε νὰ ἐκσπάσῃ ὡς τάχιστα ἀπὸ τοῦ σώματος αὐτῆς. Τοῦ Μητροδώρου τἀκολαστήματα οὐδ' αὐτὸς ὁ Ἐπίκουρος ἀποδέχεται καὶ τῆς Κυρηναϊκῆς Σχολῆς τὰ ὑπερσχρκώματα θὰ ἔσπευδε νὰ ἐκριζώσῃ ἡ καλαισθητικὴ τοῦ Ἀριστίππου φύσις. Ἡ διάνοια τοῦ ἀνθρώπου οὐδέποτε ἐλάτρευσε τὴν ἄνουν ὕλην, εἰ μὴ μόνον ὅτε ἐπαύσατο διευθυνομένη ὑπὸ τοῦ φιλοσοφικοῦ πνεύματος, ὑπὸ φιλοσοφικῆς μεθόδου, εἰμὴ ὅτε ἐπαύσατο φιλοσοφοῦσα. Οὐδεὶς οὐδέποτε ἠγάπησε τὴν πατρίδα πλέον τῆς φιλοσοφίας. Ἀνάγνωτε τὴν Ἀπολογίαν καὶ τὸν Κρίτωνα τοῦ Πλάτωνος. Οὐδεὶς οὐδέποτε ἐξῆρεν εἰς τοιοῦτον ἰλιγγιῶδες ὕψος τὴν φιλίαν ὡς ἡ φιλοσοφία. Ἀνάγνωτε τὸ βιβλίον Θ' καὶ Ι' τῶν Ἠθικῶν Νικομαχείων τοῦ Ἀριστοτέλους. Οὐδεὶς οὐδέποτε ᾐσθάνθη τὴν πρὸς τοὺς ὁμοίους ἡμῖν ἀνθρώπους ἀγάπην βαθύτερον τῆς φιλοσοφίας. Οὐδεὶς οὐδέποτε ἐξετίμησε τὰ ἐκ τῆς ἀνθρωπίνης κοινωνίας ἀγαθὰ κάλλιον τῆς φιλοσοφίας. Ἀνάγνωτε τὰ περὶ πολιτείας συγγράμματα τοῦ Πλάτωνος, τοῦ Ἀριστοτέλους καὶ τὰ περὶ τῆς τοῦ Ζήνωνος παραδεδομένα. Οὐδεὶς οὐδέποτε ἠνέσχετο τὰς ἀδικίας τῶν ὁμοίων αὐτῷ μετὰ πρᾳότητος μείζονος τῆς φιλοσοφίας. Ἔστωσαν παραδείγματα ὁ Σωκράτης, ὁ Ἐπίκτητος, ὁ Βοήθιος.

Οὐδεὶς οὐδέποτε ἐφάνη πρὸς τὴν ἀγνωμοσύνην τῆς εὐεργετηθείσης κοινωνίας συγγνωμονικώτερος τῆς φιλοσοφίας· παράδειγμα τρανότατον ὁ Σωκράτης. Οὐδεὶς οὐδέποτε ἐφάνη εὐσεβέστερος οὐδ' ἐλάτρευσε τὸ θεῖον ἀξιοπρεπέστερον τῆς φιλοσοφίας. Οὐδεὶς οὐδέποτε παρέσχε τῇ ἀνθρωπότητι τὰς εὐεργεσίας αὐτοῦ ἀκομπότερον καὶ μετριοφρονέστερον τῆς φιλοσοφίας. Ἐνθυμήθητε αὖθις τὸν Σωκράτην, τὸν Σπινόζαν, τὸν Κάντιον. Οὐδεὶς οὐδέποτε ἐνέπνευσε τοῖς ἀνθρώποις τηλικαύτην ἀφιλοκερδῆ φιλανθρωπίαν ἡλίκην ἡ φιλοσοφία. Οὐδεὶς οὐδέποτ' ἐξετίμησε καὶ ἐθαύμασεν οὕτω προσηκόντως τὸ θεῖον τῆς ζωῆς δῶρον ὡς ἡ φιλοσοφία.

Τίς δὲ— ἵνα πρὸς τὰς σημερινὰς τοῦ ἔθνους περιστάσεις ἀποβλέ-

φικὰ ὑμῶν καὶ συνοδικὰ γράμματα καὶ οἱ ἀποσταλέντες ἐκ τῆς ὑψηλῆς καὶ προςκυνητῆς Πόρτας, καὶ δῆλον ἐποίησαν ἡμῖν μεταπέμπεσθαι ἡμᾶς εἰς τὰ ἐνταῦθα, ὥςτε ἀναδέξασθαι δεύτερον τὸν οἰκουμενικὸν καὶ ἀποστολικὸν τοῦτον θρόνον, ὅπερ ἀληθῶς παντὶ τῷ μὴ τὴν πεῖραν τοῦ πράγματος ἔχοντι δεκτόν τε καὶ εὐφροσύνης παραίτιον, ἡμῖν δὲ τοῖς διὰ πολλῶν τῆς προστασίας ταύτης πραγμάτων πεπειραμένοις θλίψιν ἐνεποίησεν εἰς τοσοῦτον, ὥςτε κατὰ κρημνῶν ἡμᾶς αὐτοὺς ῥῖψαι. Ἀλλ' ἵνα μὴ προςκρούσωμεν ἀβούλως τῇ ὑπερεχούσῃ ὑψηλῇ καὶ προςκυνητῇ ἀρχῇ, εἰς ἣν πειθαρχεῖν ἄφευκτον, ἀλλὰ δὴ καὶ τῇ κοινῇ καὶ αἰδεσίμῳ ἡμῶν μητρὶ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἧς πόῤῥω ζῆν χριστιανικῶς ἀδύνατον, εἰς ἑαυτοὺς ἐλθόντες ἔφημεν:—Ἡ ὑψηλὴ ἀρχὴ ἐπιτάττει, καὶ τίς αὐτῇ ἀντιστήσεται; καί, ὅ φησί τις: «*Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται;*»[1]. Ἡ κοινὴ καὶ ὀρθόδοξος Ἐκκλησία, ἡ ἱερὰ καὶ σεβασμιωτάτη σύνοδος δωρεῖται[2] καὶ προςκαλεῖ, καὶ τίς, τέκνον αὐτῆς ὀρθόδοξον ὄν, ἀπειθήσει αὐτῇ;—Ἐμνήσθην τοῦ διὰ τοῦ Ἀποστόλου εἰπόντος: *Πᾶσα ψυχὴ ὑπερεχούσαις ἐξουσίαις ὑποτασσέσθω*[3]», καὶ ἔμελλον συσταλῆναι; ἢ ποίαν ἂν ἔσχον ἀπολογίαν αὐτῷ, παρακούων τῷ τὰς ἐντολὰς διδόντι τῆς εὐνομίας, *καὶ τὰ πάντα μετασκευάζοντι*[4], κατὰ τὴν θείαν αὐτοῦ εὐδοκίαν καὶ θέλησιν; Διὰ τοῦτο ἐπιθυμητὴ μὲν ἡμῖν ὑπῆρχεν ἡ ἡσυχία, καὶ ὁ ἐκτὸς πραγμάτων βίος αἱρετώτερος, ἀλλὰ καὶ τοῦ Κυρίου ἐντελλομένου διὰ τοῦ Ἀποστόλου: «*Μηδένα τὸ ἑαυτοῦ ζητεῖν μόνον, ἀλλὰ καὶ τὸ ἑτέρου ἕκαστον*[5], καὶ τὰ χείριστα ἐπαπειλοῦντος διὰ τοῦ προφήτου τοῖς παρακούουσι (φησὶ γάρ: «*καθὼς ἀπώσασθέ με τοῦ εἶναι ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσωμαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα*»)[6], τίνες εἴχομεν γενέσθαι, καὶ ποῦ τραπέσθαι, εἰμὴ δοῦναι νῶτον εὐπειθῆ καὶ ἆραι τὸν ζυγὸν τοῦτον ἐπὶ τὸν τράχηλον ἑαυτῶν, ἄλλως τε μέλλοντες ἔχειν αὐτὸν ἀντιλήπτορα, προστάτην τε καὶ ὑπερασπιστήν, ὡς ἐπαγγέλλεται: ἐγὼ ἔσομαι μεθ' ὑμῶν λέγων, καὶ ἐάν μου ἀκούσητε, ἱσταμένου ἐπὶ τὴν θύραν καὶ κρούοντος, εἰςελεύσομαι εἰς τὸν οἶκον

[1] Ἀμὼς γ', 8.
[2] Ἴσως: *διορίζεται.*
[3] *Ῥωμ. ιγ'*, 1.
[4] *Ἀμὼς ε'*, 8.
[5] *Α' Κορινθ. ι'*, 24.
[6] Οὐκ οἶδα τίνος τῶν προφητῶν ἡ ῥῆσις.

ὑμῶν καὶ δειπνήσω μεθ' ὑμῶν, ὡς ἐν τῇ κατὰ Ἰωάννην ἱερᾷ Ἀποκαλύψει εἶπεν ὁ Κύριος ;[1].

«Τοιαῦται μὲν οὖν αἱ ἀπειλαὶ τοῖς ἀπειθοῦσι, τοιαῦτα τὰ ἐπιτίμια τοῖς παραβαίνουσιν, ὥςτε καὶ πᾶσαν ψυχὴν λιθίνην τε καὶ ἀδαμαντίνην δύνασθαι ὡς κηρὸν τήκειν, καὶ ὡς ζύμην μαλάττειν. Διὰ τοῦτο, ὦ ἱεροὶ ποιμένες καὶ τῆς ἱερᾶς τοῦ Χριστοῦ μάνδρας συμποιμένες, ὦ ποίμνιον λογικὸν καὶ τοῦ ἀρχιποίμενος ἄξιον Χριστοῦ, ὑπεκύψαμεν αὖθις τὸν αὐχένα τῷ βουλήματι αὐτοῦ, καὶ πάρεσμεν αὖθις, ὡς ὁρᾶτε, καὶ ἔχετε ἡμᾶς ἱσταμένους ἐπὶ τὴν ὑψηλὴν ταύτην πατριαρχικὴν καὶ οἰκουμενικὴν περιωπήν, φέροντας ἐπὶ τοὺς ἀδυνάτους ἡμῶν ὤμους τὸν πνευματικὸν καὶ ἐπίμοχθον ὅμως κλοιώδη κόσμον, καὶ διὰ τῶν ἱερῶν τούτων κωδώνων πᾶσαν ψυχὴν εὐσεβῶν διανιστῶντας τοῦ γενέσθαι ἐν ἀκοῇ καὶ ὁράσει ὅτι πάρεσμεν αὖθις ὑπακούοντες τῷ οὕτως εὐδοκήσαντι Θεῷ, καὶ τῇ ὑψηλῇ καὶ ὑπερτάτῃ Πόρτᾳ, αὖθις ἡμᾶς ἐλεησάσῃ, καὶ τρίτον τῇ πνευματοφόρῳ καὶ ὀρθοδόξῳ ἡμῶν Ἐκκλησίᾳ ταῦτα βουλευσαμένῃ ὑπακούσαντες, χαίρειν εἴπομεν τοῖς βουλεύμασι καὶ θελήμασιν ἡμῶν· ἐδεξάμεθα ἀνὰ χεῖρας τὴν ἄνωθεν καταβαίνουσαν ποιμαντικὴν ταύτην ῥάβδον, τὴν δεσποτείαν ὁπωςοῦν ὑποσημαίνουσαν, πολλοὺς δὲ τῷ ὄντι παρέχουσαν τῷ ἀναδεχομένῳ κινδύνους ἐν ταῖς τοῦ καιροῦ περιστάσεσι, καὶ πολλῶν δεσποτείαν ὑποτάττουσαν, ἵνα μὴ παύσωμεν ἀγρυπνοῦντες ἐν ὅσῳ ἀπόκειται ἡμῖν τὸ δοκεῖν ποιμαίνειν, ὥςτε «*γενέσθαι τοῖς πᾶσι τὰ πάντα, ἵνα τινάς, εἰ καὶ μὴ πάντας, κερδήσωμεν*»[2].

«Παρῃτησάμεθα οὖν τὸ ὁπωσοῦν ἐλεύθερον καὶ ἀτάραχον τοῦ βίου, τὸ μὴ λόγον ὀφείλειν κατὰ τὴν κρίσιν ἑκάστου, μηδὲ πραγματείαις ὑποκεῖσθαι τοῦ διδόναι καὶ λαμβάνειν, ἐξ ὧν ἀναφύονται αἱ ζάλαι καὶ τρικυμίαι, καὶ τὸ μέγιστον αἱ ἀφόρητοι δυστυχίαι, καὶ τὸ χεῖρον τὸ ἄδηλον ποῦ τὴν κεφαλὴν κλῖναι τὸν προστατεύοντα, ἀλλὰ πεποιθότες τῇ θείᾳ εὐδοκίᾳ καὶ τῇ τῆς ἑαυτοῦ ψυχῆς προθυμίᾳ εἰς τὸ ποιεῖν δουλικῶς ἅπαν ὅσον ὀφείλομεν τῇ κραταιοτάτῃ ἀρχῇ ; ὡς φθάσαντες τοῖς πράγμασιν ἐδείξαμεν· ἐπὶ τὸ ἄρχειν ἀπὸ τοῦ ἄρχεσθαι μεταβαίνομεν, καὶ προςτρέχομεν προςπίπτοντες εἰς τὴν κραταιὰν καὶ ἀκαταγώνιστον δύναμιν τοῦ οὕτω τὰ καθ' ἡμᾶς εὐδοκήσαντος, καὶ «*τὴν δύναμιν αὐτοῦ ἐν ἀσθενείᾳ τελειοῦσθαι*» εἰπόντος[3], ἐκλιπαροῦντες θερμῶς ὅλῃ ψυχῇ ἄξιοι γενέσθαι, ἔχοντες συν-

[1] *Ἀποκ.* γ', 20.
[2] *Α' Κορινθ.* ι', 20-22.
[3] *Β' Κορινθ.* ιβ', 9.

ευχομένους καὶ συνικετεύοντας ἅπασαν τὴν θεοφρούρητον ὁμήγυριν τῶν πανιερωτάτων καὶ συναδελφῶν ἁγίων ἀρχιερέων, καὶ τὸ σύστημα πάντων τῶν παρευρεθέντων καὶ συνελθόντων εὐσεβῶν χριστιανῶν, ὥςτε ὧν αἰτοῦμεν καὶ χρήζομεν ἄξιοι γενέσθαι, καὶ χεῖρας αἴροντες ἱκέτιδας μιᾷ φωνῇ καὶ γλώττῃ ἐπικαλούμεθα λέγοντες:—Ὦ Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, οὗτινος τῷ παναγίῳ αἵματι ἐξηγοράσθη πᾶσα ψυχὴ εὐσεβῶν, ἄγεται δὲ καὶ οἰκονομεῖται τὸ πᾶν τῇ πανσθενεῖ σου δυνάμει, καὶ οἷς οἶδας καιροῖς καὶ χρόνοις μεταποιῶν εἰς τὸ κρεῖττον τὰ πάντα, ὁ κἀμὲ τὸν ταπεινὸν καὶ ἀνάξιον δοῦλόν σου μεταγαγὼν καὶ ἐπὶ τὴν ποιμαντικὴν ταύτην περιωπὴν ἀνυψώσας, ὥςτε ἀφ' ὑψηλοῦ βοᾶν καὶ λέγειν: «*αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου*» [1], σοῦ δέομαι καὶ θερμῶς παρακαλῶ, ἐπάκουσον ἐν τῇ ὥρᾳ ταύτῃ τῆς φωνῆς τῆς δεήσεώς μου. Ὁδήγησον εἰς πᾶν ἔργον ἀρεστὸν τῷ θελήματί σου τῷ ἁγίῳ. Συνέτισόν με τοῦ ποιεῖν τὸ θέλημά σου, καὶ ἀξίως καὶ θεαρέστως οἰκονομεῖν τὸν λαόν σου. Χάρισαι ζωὴν πολυχρόνιον, κράτος ὑπέρτατον εἰς τοὺς ὑψηλοτάτους καὶ εὐμενεστάτους ἡμῶν αὐθέντας, καὶ διατήρησον αὐτοὺς ἐν παντὶ καιρῷ ὡς κόρην ὀφθαλμοῦ, ἀνωτέρους πάσης προςβολῆς ἐναντίας, καὶ ὡς φλόγα πυρὸς πᾶσι τοῖς ἐπερχομένοις αὐτοὺς ἀνάδειξον, ἵνα δι' αὐτῶν διεξάγηται ἐν πάσῃ ἡσυχίᾳ τε καὶ ἀνέσει ὁ ὑποκείμενος ἅπας καὶ περιούσιος λαός. Διατήρησον ἐν ὑγείᾳ ἀμεταπτώτῳ, καὶ διαφύλαξον ἀμετάτρεπτον καὶ ἀναλλοίωτον τὸν ζῆλον καὶ προθυμίαν τῶν ἐνδημούντων ἀρχιερέων, εἰς διεξαγωγὴν παντὸς τοῦ χριστωνύμου σου πληρώματος, εἰς αὔξησιν καὶ εἰρηνικὴν κατάστασιν τῆς ἐκκλησιαστικῆς οἰκονομίας καὶ διοικήσεως. Περιχαράκωσον τῇ δυνάμει σου, καὶ εὐπαῤῥησιάστους ἀνάδειξον τῇ διὰ βίου παντὸς πίστει καὶ εὐπειθείᾳ πάντας τοὺς ἐν εὐσεβείᾳ σεμνυνομένους πανεκλαμπροτάτους ἡγεμόνας, τοὺς ἐνδοξοτάτους καὶ εὐγενεστάτους ἄρχοντας καὶ πρωτίστους τοῦ γένους, ἵνα ζήλῳ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀγωνίζωνται καὶ ἀντιπαρατάττωνται εἰς ἅπαν ἀντίξουν τῶν κατὰ τῆς ἁγίας σου Ἐκκλησίας ἐπερχομένων. Εὐλόγησον καὶ πλεόνασον πᾶσαν ἐμπορείαν τῶν ἐντίμων πραγματευτῶν, καὶ πᾶσαν ἐργασίαν τῶν εὐλογημένων ῥουφετίων παντὸς τοῦ χριστωνύμου λαοῦ σου, ἵνα ἔχοντες αὐτάρκειαν περισσεύωσιν εἰς ἀντίληψιν καὶ βοήθειαν τῶν ἐνδεῶν καὶ ἀπόρων τῆς Ἐκκλησίας σου, καὶ προκόπτωσιν εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σωτήριον. Ἕνωσον ποιμένας καὶ συμποιμένας, καὶ ἅπαντας τοὺς ἐπὶ τῷ ὀνόματί σου τῷ ἁγίῳ καυχωμένους καὶ σεμνυνομένους, τῷ συνδέσμῳ τῆς εὐαγγελικῆς σου

[1] *Ψαλμ.* ος', 10.

ἀγάπης, ἵνα ἐν αὐτῇ γνωριζώμεθα ὅτι σοῦ ἐσμὲν μαθηταί, καὶ ταύτην τὴν ζωὴν διανύοντες εἰρηνεύωμεν κατὰ τὸ σὸν θέλημα, ὅπως ἐλπίζωμεν ἀδιστάκτως ἀξιωθῆναι τῶν ἐπηγγελμένων σου ἀγαθῶν, χάριτι σοῦ τοῦ μονογενοῦς Υἱοῦ καὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τοῦ ἀνάρχου σου Πατρός, καὶ τοῦ παναγίου καὶ συναϊδίου Πνεύματος, τῆς ὁμοουσίου ἀδιαιρέτου καὶ τρισυποστάτου θεότητος· ᾗ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν».

ΠΑΡΑΡΤΗΜΑΤΟΣ

Γ'.

Τὸ πατριαρχικὸν ὑπόμνημα, περὶ οὗ γίνεται ὁ προσήκων λόγος ἐν τῇ 71 σημειώσει ἔχει ὧδε·

«Ἐπειδὴ ὁ πανιερώτατος μητροπολίτης Μηθύμνης, συναδελφὸς ἡμῶν ἀγαπητὸς κῦρ Διονύσιος, ἀποκατασταθεὶς παρὰ τῆς Ἐκκλησίας ἐν ἐκείνῃ τῇ ἐπαρχίᾳ γνήσιος καὶ νόμιμος ποιμήν,ἐπολιτεύσατο ἀξίως κατὰ τὸ ἀρχιερατικὸν ἐπάγγελμα, οἰκονομήσας μέχρι καιροῦ πρεπόντως τὰ τῆς ἐπαρχίας ἐκείνης· ἀλλὰ πρὸ *πέντε* χρόνων, κρίμασιν οἷς οἶδε Θεός, νόσῳ βαρυτάτῃ περιπεσών, ἔπαθε καιρίως καὶ κατήντησεν εἰς ἠλιθιότητα νοός, τοῦτο δὲ τὸ νόσημα καταμαθοῦσα ἡ ἐκκλησία ὡς λίαν ἐπιβλαβὲς ἐκείνῳ καὶ ἐπιζήμιον πρὸς τὰς ψυχὰς τῶν ποιμαινομένων παρ'αὐτοῦ εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ἔσπευσεν οἰκονομῆσαι καὶ θεραπευθῆναι, καὶ πρὸ χρόνων προσεκαλέσατο ἐνταῦθα εἰς βασιλεύουσαν καὶ ἀπεκατέστησεν ὑπὸ διαίτῃ καὶ ἐπισκέψει ἀξιολόγων καὶ πεπαιδευμένων ἰατρῶν, ὑφ' ὧν καὶ ἐπισκεφθεὶς οὐ μικρὸν καὶ περιποιηθεὶς οὐδὲν ὠφελήθη, καὶ ἀντὶ ἐπὶ τὸ κρεῖττον προέβη ἐπὶ τὸ χεῖρον, καὶ οὑτωσὶ οἱονεὶ ἀναισθητῶν ὑπεχώρησεν ἐντεῦθεν καὶ ἀπῆλθεν αὖθις ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ, ἡ Ἐκκλησία δὲ αὖθις φιλανθρωπευομένη ἐπ' αὐτῷ καὶ βουλομένη κατὰ συμπάθειαν τὴν ἀνάκλησιν τῆς τελείας ὑγιείας αὐτοῦ, διωρίσατο ἀπελθεῖν εἰς τὴν Χίον, ὅπου καὶ ἀπελθὼν καὶ ἐπισκεφθεὶς παρὰ τῶν ἐκεῖ ἀξιολόγων ἰατρῶν, οὐ μόνον οὐδὲν ὠφελήθη, ἀλλὰ καὶ χείρων τῆς εἰς τὸ ἑξῆς ἀνέσεως ἐκείνου καὶ ἡσυχίας καὶ τῶν ἐκείνῃ τῇ ἐπαρχίᾳ εὐλογημένων χριστιανῶν, καὶ κατὰ χρέος ἀπαραίτητον φροντίζουσα τῆς ἐπ' ἀγαθῷ ἀποκαταστάσεως καὶ τῆς ψυχικῆς σωτηρίας, ἔγραψεν ἐκείνῳ διὰ κοινῆς σκέψεως δοῦναι οἰκειοθελῶς τὴν παραίτησιν αὐτοῦ· ἐκεῖνος δὲ ὅμως τοιουτοτρόπως πάσχων, οὐκ ἠδυνήθη διακρῖναι τὸ βλάπτον τοῦ συμφέροντος, ἀλλ' οὐδὲ οἱ περὶ αὐτὸν ἄνθρωποι αἰσχροκερδοῦντες καὶ κακοβούλως θέλοντες διοικεῖσθαι τὴν ἐπαρχίαν

ἐκείνην τοιουτοτρόπως ἀκαταστάτως, ὡς γίγνεσθαι διὰ τὰς καταχρήσεις αὐτῶν ἁρπαγάς, ἀδικίας τε καὶ παρανομίας, εἰς τοσοῦτον προήχθησαν τόλμης, ὥστε ἐμποδίσαι τὴν ἔκδοσιν τῆς ἐκείνου παραιτήσεως καὶ ἀποστολὴν πρὸς τὴν Ἐκκλησίαν· καὶ ἐπειδὴ ἐκ τῶν τοιούτων συνέβαινον ὁσημέραι θλίψεις πρὸς τὰς ψυχὰς τῶν ἐκεῖ χριστιανῶν καὶ συνεχεῖς ἐνοχλήσεις πρὸς αὐτὴν τὴν Ἐκκλησίαν, διὰ τοῦτο ἀπεφάνθη γνώμῃ κοινῇ καὶ συνοδικῇ ἀπομακρυνθῆναι τὴν ἐκείνου ἱερότητα τῆς τοιαύτης ποιμαντορικῆς προστασίας, καὶ χειροτονηθῆναι ἀντ' ἐκείνου ἕτερον γνήσιον, νόμιμον καὶ κανονικὸν ἀρχιερέα, ἀβλαβεῖς ἔχοντα τὰς φρένας, ἐπισκεπτόμενον δὲ καὶ γηροκομοῦντα τὸν εἰρημένον προκάτοχον αὐτοῦ. Καὶ ἐπειδὴ διὰ τὰς ἀνωτέρω αἰτίας ἡ ῥηθεῖσα ἁγιωτάτη μητρόπολις Μηθύμνης ἀμοιρεῖ τοῦ ἀξίου πνευματικοῦ αὐτῆς προστάτου, ἡμεῖς οἱ ἐνδημοῦντες ἀρχιερεῖς, προτροπῇ καὶ ἀδείᾳ τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Νεοφύτου, συνελθόντες ἐν τῷ κατὰ τὸν Κουρούτζεσμεν ἱερῷ ναῷ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ ψήφους κανονικὰς προβαλλόμενοι εἰς εὕρεσιν καὶ ἐκλογὴν ἀξίου καὶ ἁρμοδίου προσώπου τοῦ ἀναδεξομένου τὴν ἀρχιερατικὴν προστασίαν καὶ ποιμαντορικὴν ῥάβδον τῆς ἁγιωτάτης ταύτης μητροπόλεως, πρῶτον μὲν τιθέμεθα τὸν πανοσιώτατον ἐν ἱερομονάχοις κῦρ Πανάρετον, τὸν καὶ πρότερον ἀρχιδιάκονον τῆς ἁγιωτάτης μητροπόλεως Ἐφέσου, δεύτερον τὸν Ἄνθιμον, καὶ τρίτον τὸν Μακάριον, ὧν τὰ ὀνόματα κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν, ἐν ἔτει σωτηρίῳ ͵αωα' κατὰ μῆνα μάϊον ἐπινεμήσεως τετάρτης.

† Ἡρακλείας *Μελέτιος*, ἔχων καὶ τὴν γνώμην τοῦ ἁγίου Ἐφέσου *Σαμουήλ*.
† Κυζίκου *Ἰωακείμ*. † Νικομηδείας *Ἀθανάσιος*. † Νικαίας *Καλλίνικος*.
† Χαλκηδόνος *Ἱερεμίας*. † Δέρκων *Μακάριος*. † Θεσσαλονίκης *Γεράσιμος*.
† Μεσημβρίας *Ζαχαρίας*. † Προύσης *Ἄνθιμος*. † Λαρίσης *Διονύσιος*.
† Ἀγγύρας (οὕτω) *Ἰωαννίκιος*.

Δ'.

Ἴσον ἀπαράλλακτον τοῦ σιγιλλίου τῆς ἐξαρχίας Τριπολιτζᾶς ἑνωθείσης αὖθις μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἀμυκλῶν.

ΚΑΛΛΙΝΙΚΟΣ *ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.*

«Οὐ δέον ἀμελεῖν καὶ παρορᾶν τοὺς προστασίαν κοινῶς εἰληφότας

πραγμάτων, εἴτε ἐκκλησιαστικῶν εἴτε πολιτικῶν καὶ παραβλάπτειν τὰς προσαγομένας αὐτοῖς εὐλόγους αἰτήσεις καὶ παρακλήσεις, ἀλλ' εὐμενῶς προσδεχομένους ἐπάγειν τὰς ἀποφάσεις, καὶ τοῖς μὲν πολιτικοῖς πολιτικάς, τοῖς δὲ ἐκκλησιαστικοῖς ἐκκλησιαστικάς, νομίμους καὶ προσφόρους, καὶ πληροῦν κατ' ὀφειλὴν ἀπαραίτητον τὰς δικαίας αἰτήσεις αὐτῶν, καὶ ἀνορθοῦν τὰ πεπτωκότα, καὶ θεραπεύειν τὰ πεπονηκότα, καὶ πάντα τρόπον πραγματεύεσθαι τὴν ὠφέλειαν τούτων καὶ λυσιτέλειαν. Εἰ γὰρ καὶ οὗτοι ἀμελῶς περὶ τὰ τοιαῦτα διέκειντο, ἦν ἰδεῖν τῷ βουλομένῳ τὰ πολλὰ τῶν καλῶν ἀφανιζόμενα, καὶ εἰς φθορὰν ὁσημέραι κατολισθαίνοντα. Διὸ καὶ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, κατὰ τὴν τοῦ καιροῦ καὶ τὴν τῶν πραγμάτων χρείαν οἰκονομεῖν οἶδε τὰ ὑπὸ τὴν ἐξουσίαν αὐτῆς τελοῦντα, καὶ μεταρρυθμίζειν [καὶ] μεθιστᾷν, καὶ τὴν τούτων διοίκησιν καὶ ἐξουσίαν ἐπιτρέπειν ὁτὲ μὲν ἑνί, ὁτὲ δὲ ἄλλῳ, κατὰ τὰ αἴτια καὶ τὰς περιστάσεις, σκοπὸν ἔχουσα τὸ νόμιμον, καὶ συμφέρον, καὶ τὸ ἄνετον τῶν προσαγομένων αὐτῇ εὐλόγους τὰς αἰτήσεις καὶ δικαίας τὰς παρακλήσεις, καὶ αὐθεντικῶς οἷον εἰπεῖν καὶ ὑπεροχικῇ ἐξουσίᾳ, ναὶ μὴν καὶ διὰ τῆς συνήθους αὐτῆς προνοίας ἀνακαλοῦσα, καὶ κατὰ χῶρον ἴδιον καὶ ἀρχαῖον ἐπανάγουσα καὶ ἀποκαθιστῶσα οὐκ ἀπαναίνεται, ὡς κἀπὶ τοῦ παρόντος ἔγνω ποιήσασθαι. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ πολιτεία Τριπολιτζᾶ λεγομένη καὶ κειμένη κατὰ τὴν Πελοπόννησον, ἐκ χρόνων ἀμνημονεύτων τετίμηται ἰδιασμένως τῇ ἐπωνυμίᾳ πατριαρχικῆς ἐξαρχίας, ὑποκειμένη τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ, καὶ ὑπ' αὐτοῦ μόνου διεξαγομένη, μηδένα ἔχουσα τὸν ἐν αὐτῇ ἀρχιερατικῶς προϊστάμενον κυριαρχικῇ ἐξουσίᾳ, ἀλλ' ἀπὸ καιροῦ εἰς καιρὸν ἐπετρέπετο ἡ διοίκησις αὐτῆς, καὶ ἡ πνευματικὴ ἐπίσκεψις τῶν ἐν αὐτῇ κατοίκων εὐλογημένων χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν, ἐπιτροπικῶς ἐκ τῶν ἀρχιερέων τῆς Πελοποννήσου, ποτὲ μὲν τῷ ἱερωτάτῳ μητροπολίτῃ Χριστιανουπόλεως, ἄλλοτε δὲ τῷ Ὠλένης, καὶ ἄλλοτε ἄλλῳ· πρὸ χρόνων δὲ ἐπιτέτραπται καὶ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἀμυκλῶν, ὡς πλησιοχώρῳ, ἅτε δὴ συνημμένοις τοῖς ὁρίοις τῆς ἐπισκοπῆς αὐτοῦ διὰ πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων· μετὰ παράτασιν δὲ καιροῦ τινος, προβιβασθέντος τοῦ κυριάρχου αὐτῆς ἱερωτάτου μητροπολίτου Λακεδαιμονίας κὺρ Δανιὴλ εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως Νικαίας, καὶ ἀντ' ἐκείνου ἀποκατασταθέντος ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Λακεδαιμονίας τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Λακεδαιμονίας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Πελοποννήσου,

συναδελφοῦ ἡμῶν ἀγαπητοῦ κῦρ Χρυσάνθου, λόγος προὐτέθη συνοδικῶς παρά τινων τῶν ἐνταῦθα προκρίτων προσηλωθῆναι τὴν πατριαρχικὴν ἐκείνην ἐξαρχίαν αὐτῇ τῷ ἁγιωτάτῃ μητροπόλει, ὡς οὐ μόνον λίαν ἐπωφελὲς καὶ συμφέρον, ἀλλὰ καὶ ἀναγκαῖον ἐφ' ἡσυχίᾳ καὶ ἀνέσει τῆς τε ἐκείνου ἱερότητος καὶ τῶν ἐν αὐτῇ κατοίκων εὐσεβῶν· καὶ οὕτω διὰ πολλῶν αὐτῶν λόγων καὶ πολυειδῶν προβλημάτων καὶ θερμῶν παρακλήσεων, κέκριται γνώμῃ κοινῇ καὶ συνοδικῇ, κατὰ τὰ προβλήματα, ἀποσπασθῆναι τὴν πατριαρχικὴν ἡμῶν ταύτην ἐξαρχίαν τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἀμυκλῶν, καὶ ἀφαιρεθῆναι τὴν ἀρχιερατικὴν προστασίαν καὶ πνευματικὴν ἐπίσκεψιν τῆς αὐτοῦ θεοφιλίας, καὶ προσηλωθῆναι τῇ ἁγιωτάτῃ μητροπόλει Λακεδαιμονίας ἐπὶ τῷ διοικεῖσθαι ἀρχιερατικῶς ὑπὸ τῆς ἐκείνου ἱερότητος, κατὰ τὴν περίληψιν τοῦ ἀπολυθέντος τηνικαῦτα πατριαρχικοῦ ἡμῶν καὶ συνοδικοῦ γράμματος. Ἀλλ' ἐπειδή, κατά τε τὸν ὀρθὸν σκοπὸν τῆς Ἐκκλησίας καὶ τὰ πολυειδῶς προβλήματα τῶν δεηθέντων, οὐκ ἀπέβησαν αἰσίως τὰ πράγματα, ἅτε δὴ ἀναφυέντων οὐκ ὀλίγων τῶν σκανδάλων μεταξὺ κυριάρχου, καὶ ἐπισκόπου, καὶ τῶν ἐν αὐτῇ εὐσεβῶν, ἀλληλομαχούντων διηνεκῶς, καὶ δυσανασχετούντων ἐπὶ τῇ μεταρρυθμίσει τῆς πνευματικῆς αὐτῶν διοικήσεως καὶ ἀρχιερατικῆς προστασίας, παμπληθεῖς ταραχαὶ καὶ ἀκαταστασίαι, θλίψεις τε καὶ ζημίαι συνέβαινον ἑκατέροις· καὶ γὰρ ἡ ἐκείνου ἱερότης οὐκ ἐπαύσατο ποτνιώμενος, γράφων τὰ ὁσημέραι συμβαίνοντα αὐτῷ, καὶ ἐξιστορῶν πρὸς τὴν Ἐκκλησίαν μηδεμίαν ὠφέλειαν γίγνεσθαι αὐτῷ ἐξ αὐτῆς τῆς πατριαρχικῆς ἐξαρχίας· τὰ αὐτὰ δὲ καὶ οἱ ἐν αὐτῇ χριστιανοὶ ἱερωμένοι καὶ λαϊκοὶ συνεχῶς διὰ κοινῶν ἐνυπογράφων ἀναφορῶν, δεόμενοι θερμῶς καὶ ἐξαιτούμενοι τὴν ἀποκατάστασιν τῆς πατριαρχικῆς ταύτης ἐξαρχίας ὑπὸ τὴν πνευματικὴν διοίκησιν καὶ ἀρχιερατικὴν προστασίαν τοῦ εἰρημένου θεοφιλεστάτου ἐπισκόπου Ἀμυκλῶν, συναδελφοῦ ἡμῶν ἀγαπητοῦ κῦρ Νικηφόρου, ἵνα διεξάγωνται καὶ οἰκονομῶνται ὑπ' αὐτοῦ ἀρχιερατικῶς, ὡς καὶ πρότερον, ἅτε δὴ διαμείναντες εὐχάριστοι ἐπὶ τῇ πνευματικῇ αὐτοῦ ἐπισκέψει, προβαλλόμενοί τε καὶ ἄλλα αἴτια ἀπαιτοῦντα κατ' ἀνάγκην τὴν ἀδιάσπαστον ἕνωσιν αὐτῆς τῆς πατριαρχικῆς ἐξαρχίας μετὰ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Ἀμυκλῶν. Ταύτῃ τοι ἔγνωμεν, γνώμῃ κοινῇ καὶ συνοδικῇ, κατὰ πρόνοιαν ἐκκλησιαστικὴν ἐπινεῦσαι ταῖς κοιναῖς αὐτῶν ἐνθέρμοις παρακλήσεσι, καὶ ἀποκαταστῆσαι αὖθις τὴν πατριαρχικὴν ταύτην ἐξαρχίαν τῆς Τριπολιτζᾶς ὑπὸ τὴν πνευματικὴν ἐπίσκεψιν καὶ ἀρχιερατικὴν προστασίαν τοῦ ἀεὶ θεοφι-

λεστάτου ἐπισκόπου Ἀμυκλῶν, καὶ διευθετῆσαι κηδεμονικῶς τὰ ἐπικείμενα αὐτῇ τῇ πατριαρχικῇ ἐξαρχίᾳ αὐλικὰ χρέη, καὶ ἀφελεῖν ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας εἰκοσιπέντε πουγγία τῶν ἄσπρων, καὶ προσθεῖναι τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Ἀμυκλῶν, οἰκονομοῦντες πρεπόντως τε καὶ δικαίως τὰ συμφέροντα ἑκατέρᾳ ἐπαρχίᾳ. Τούτου χάριν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ῥηθεῖσα πατριαρχικὴ ἡμῶν ἐξαρχία τῆς Τριπολιτζᾶς, εἴη καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται πατριαρχικὴ μὲν ἐξαρχία, ὡς ἐκ παλαιοῦ, ὑπάρχῃ δὲ ἀείποτε ἡνωμένη ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ συνημμένη τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Ἀμυκλῶν, διεξαγομένη τε εἰς ἅπαντα τὸν αἰῶνα καὶ διακυβερνωμένη ἀρχιερατικῶς ὑπὸ τοῦ ἀεὶ θεοφιλεστάτου ἐπισκόπου Ἀμυκλῶν· τῶν δὲ προγενομένων πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων, τῶν ἀποφαινομένων τὴν ἕνωσιν αὐτῆς μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας, διαμενόντων ἀκύρων καὶ ἀνισχύρων εἰς τὸ παντελές, ὡς ἀποσπαθείσης ἤδη της ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας ἀνεπιστρόφως καὶ προσηλωθείσης τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Ἀμυκλῶν ἀμετακινήτως, ἐπεὶ ἀποδέδεικται ἐκ τῶν πραγμάτων σαφῶς, ὡς οὐκ ἔστιν ὅλως συμφέρον ἢ ἀναγκαῖον διαμένειν αὐτὴν ἡνωμένην τῇ ἁγιωτάτῃ μητροπόλει Λακεδαιμονίας, ἀλλ' ἐκ τοῦ ἐναντίου ταραχῆς πρόξενον καὶ ἀνυποίστου ζημίας, καὶ παραίτιον πολλῶν ἐνδεχομένων δεινῶν καὶ ἀπευκταίων. Ὅθεν ὁ μὲν ἱερώτατος μητροπολίτης Λακεδαιμονίας κῦρ Χρύσανθος καὶ οἱ μετὰ ταῦτα διάδοχοι αὐτοῦ μηδεμίαν μετοχὴν τοῦ λοιποῦ ἢ δεσποτείαν ἢ ὅλως ἐξουσίαν ἔχωσιν ἐν αὐτῇ τῇ πατριαρχικῇ ἐξαρχίᾳ τῆς Τριπολιτζᾶς, ὁ δὲ θεοφιλέστατος ἐπίσκοπος Ἀμυκλῶν κῦρ Νικηφόρος, καὶ οἱ μετὰ ταῦτα διαδεξόμενοι τὴν ἐπισκοπὴν ταύτην, ἔχωσιν ἐπιστατεῖν ἀρχιερατικῶς, διοικεῖν τε καὶ οἰκονομεῖν ἀξιοπρεπῶς καὶ τὰ τῆς ἐξαρχίας ταύτης καὶ ποιμαίνειν τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ πλήρωμα ὁσίως καὶ θεαρέστως, καὶ ποδηγετεῖν εἰς νομὰς σωτηρίους τῆς εὐαγγελικῆς χάριτος, καὶ κληρικοὺς ἀποκαθιστᾷν, καὶ σφραγίζειν ἀναγνώστας καὶ ὑποδιακόνους, κείρειν μοναχοὺς καὶ μονα'ζούσας, καὶ χειροτονεῖν διακόνους καὶ πρεσβυτέρους, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐπιτελεῖν λειτουργήματα, ὡς νενόμισται, συνάζειν τε καὶ περιλαμβάνειν πάντα τὰ νενομισμένα ἀνέκαθεν ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα κύρια καὶ τυχηρά, καὶ ἐξ αὐτῶν οἰκονομεῖν καὶ ἐκπίπτειν κατ' ἔτος ἐκ τῶν ἐπικει-

μένων αὐτῇ αὐλικῶν χρεῶν, μετὰ τὴν ἀνελλιπῆ ἀπόδοσιν τῶν ἐτησίων τόκων, καὶ τοῦ διωρισμένου κατὰ τὸ ἀρχαῖον ἔθος ἐξαρχικοῦ ἐτησίου, καὶ οὕτω πιστῶς τε καὶ ἐμφρόνως διατηρεῖν ἀδιάσπαστον τὴν ἕνωσιν ταύτην ὡς ἀμετακίνητον. Ὀφείλουσι δὲ καὶ οἱ ἐν αὐτῇ εὐσεβεῖς, ἱερωμένοι καὶ λαϊκοί, γνωρίζειν τὴν αὐτοῦ θεοφιλίαν πνευματικὸν αὐτῶν προστάτην καὶ ἀρχιερέα, καὶ τοὺς μετὰ ταῦτα διαδόχ.υς αὐτοῦ, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι κατὰ τὸ πρέπον, νόμιμόν τε καὶ δίκαιον, καὶ παρέχειν μετὰ ἑτοιμότητος καὶ εὐγνωμοσύνης πάντα τὰ κανονικὰ ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα κύριά τε καὶ τυχηρά, ὡς πάνθ' ὅσ' ἄλλα σσνήθη καὶ τεταγμένα μέχρι καὶ αὐτοῦ τοῦ λεπτοῦ, ἵνα διὰ τῶν τοιούτων καὶ ἡ αὐτοῦ θεοφιλία δύνηται ἀπόλογεῖσθαι καὶ διδόναι τὰ χρέη καὶ αὐτῆς τῆς πατριαρχικῆς ἐξαρχίας τῆς Τριπολιτζᾶς. Ταῦτα ἀπεφάνθη ἤδη γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει, καὶ ὥρισται κατὰ πρόνοιαν ἐκκλησιαστικὴν ἐπὶ τῷ ἔχειν τὸ *ἀραρᾶν* (οὕτω) [1] καὶ τὴν ἰσχὺν ἀπαράτρεπτον καὶ μόνιμον, καὶ ὡς εἰπεῖν αἰωνίαν τὴν ἐμπέδωσιν. Ὅσοι δὲ τῶν χριστιανῶν, εἴτε ἐκ τοῦ ἀρχιερατικοῦ καταλόγου καὶ τοῦ ἱερατικοῦ, εἴτε ἐκ τοῦ πολιτικοῦ συστήματος ἑκάστης τάξεως καὶ βαθμοῦ, ἐπιχειρήσωσιν ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐκτεθέντα, καὶ γνώμῃ κοινῇ ἀποφανθέντα, καὶ ἀναιρέσαι καθ' οἱονδήτινα τρόπον τὴν ἕνωσιν ταύτην, καὶ ἐπιφέρωσιν ἐπήρειάν τινα ἢ ἐνόχλησιν τῇ αὐτοῦ θεοφιλίᾳ ἢ ζημίαν, καὶ φωραθῶσιν ἐμμέσως ἢ ἀμέσως ἐναντιούμενοι τῇ πατριαρχικῇ ἡμῶν καὶ συνοδικῇ ταύτῃ νομίμῳ καὶ δικαίᾳ ἀποφάσει, οἱ. τοιοῦτοι ὁποῖοι ἂν ὦσιν, ὡς κακότροποι, ταραχώδεις τε καὶ φιλεπιζήμιοι, καὶ ἀνατροπεῖς τῶν καλῶν, ἀφωρισμένοι ὑπάρχωσι.... Διὸ ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλιῶδες γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ῥηθέντι θεοφιλεστάτῳ ἐπισκόπῳ Ἀμυκλῶν συναδελφῷ ἡμῶν ἀγαπητῷ κῦρ Νικηφόρῳ. Ἐν ἔτει σωτηρίῳ ͵αωδ' κατὰ μῆνα Ἀπρίλλιον (οὕτω) ἐπινεμήσεως ζ'.

† *Καλλίνικος* ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. † Ἐφέσου *Διονύσιος*. † Ἡρακλείας *Μελέτιος*. † Κυζίκου *Ἰωακείμ*. † Νικομηδείας *Ἀθανάσιος*. † Δέρκων *Γρηγόριος*. † Προύσης *Ἄνθιμος*. † Λαρίσης *Ραφαήλ*. † Ἀγκύρας *Ἰωαννίκιος*. † Παλαιῶν Πατρῶν *Πολύκαρπος*. † Προϊλάβου *Παρθένιος*.

[1] Ἴσως: *κῦρος τὸ ἀῤῥαγές*.

ΣΗΜΕΙΩΣΕΙΣ ΕΞΗΓΗΤΙΚΑΙ

Ἐστάλησαν δὲ καὶ αἱ ἀπαιτούμεναι ἐπιστολαί, κατὰ τὴν ἔννοιαν τοῦ ἄνω σιγιλλίου, πρός τε ἅγιον Λακεδαιμονίας καὶ τὸν Ἀμυκλῶν καὶ Τριπολιδζᾶς, δηλωτικαὶ τῆς νομίμου ἐκκλησιαστικῆς διατάξεως καὶ τῆς ἀφαιρέσεως τῶν 25 πουγγίων ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως, καὶ τῆς τούτων προσθήκης ἐπὶ τῶν χρεῶν τῆς ἐξαρχίας, ὅπως πληροφορηθέντες ἀμφότεροι ὑπακούσωσι τῇ νέᾳ ἐκκλησιαστικῇ διατάξει· καὶ γράμμα πρὸς τοὺς ἐν Τριπολιδζᾷ χριστιανούς, ὅπως γνωρίζωσι τοῦτο προσέτι ἀπεστάλη.

Ὁ δὲ εἰς μητρόπολιν προβιβασμὸς τῶν Ἀμυκλῶν καὶ Τριπολιδζᾶς, καὶ τὸ ἐπὶ τῇ ἐκλογῇ νέου, τοῦ καὶ πρώτου μητροπολίτου τῆς ἐπαρχίας ταύτης, ὑπόμνημα ἔχει ὧδε·

Πάντα πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν γίνεσθαι ὁ ἀποστολικὸς ἀποφαινόμενος λόγος ἄλλας τε διαφόρους οἰκονομίας περὶ τὰ ἐκκλησιαστικὰ πράγματα καὶ τὰς τῶν ἐπαρχιῶν ἐνίοτε εὐλόγους μεταβολὰς ἀριδήλως προϋποτίθησιν· διὸ καὶ ἴδοι τις ἄν, τοὺς ἐκκλησιαστικοὺς πίνακας μετελθὼν τῶν ἐπαρχιῶν, ἄλλας μὲν ἐπισκοπὰς οὔσας τὸ πρῶτον, τάξιν ἀρχιεπισκοπῶν ὕστερον εἰληφυίας, ἄλλας δὲ ἀρχιεπισκοπὰς εἰς μητρόπολιν προαχθείσας, καὶ τὰς μὲν προβιβασθείσας, τὰς δὲ ὑποβιβασθείσας τῇ τοῦ ἁγιωτάτου πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου αὐθεντίᾳ, ἢ τοὺς καιροὺς καὶ τὰς παρομαρτούσας τοῖς καιροῖς περιστάσεις καὶ τὰς αἰτίας εὐλογοφανεῖς. Ἐφ' ᾧ καὶ ἤδη τὴν ἁγιωτάτην ἐπισκοπὴν Ἀμυκλῶν, τὴν ὑπὸ τὴν μητρόπολιν Λακεδαιμονίας διατελοῦσαν, κέκριται καὶ ἀπεφάνθη, διαγνώσει συνοδικῇ καὶ συγκαταθέσει τῶν προὐχόντων τοῦ γένους κοινῇ, εἰς μητρόπολιν τιμηθῆναι, ὡς εὐσεβεῖ κομῶσαν λαῷ θείᾳ χάριτι, καὶ τῇ Τριπολιτζᾷ, τῇ πατριαρχικῇ ἐξαρχίᾳ, ἐκ μακροῦ τοῦ χρόνου συνημμένην, πόλει τὰ νῦν διασήμῳ καὶ προκαθημένῃ τῶν ἄλλων αὐτῆς ἁπασῶν τά τε ἄλλα καὶ διὰ τὴν ἐν αὐτῇ ἔκλαμπρον ἡγεμονικὴν καθέδραν. Ταύτης γοῦν τῆς εἰς μητρόπολιν ἤδη τιμηθείσης παροικίας διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ τόμου ὑπὸ τῷ ὀνόματι Τριπολιτζᾶς καὶ Ἀμυκλῶν ἀπροστατεύτου διαμεινάσης, ἅτε δὴ τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος κὺρ Νικηφόρου τὸ ζῆν ἐκμετρήσαντος καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, ἡμεῖς οἱ ἐνδημοῦντες ἀρχιερεῖς, προτροπῇ καὶ ἀδείᾳ τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κὺρ κὺρ

Κυρίλλου, συνελθόντες ἐν τῷ κατὰ τὸν Κουρούτζεσμεν ἱερῷ πατριαρχικῷ ναῷ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, καὶ ψήφους κανονικὰς προβαλλόμενοι εἰς εὕρεσιν καὶ ἐκλογὴν ἀξίου καὶ ἁρμοδίου προσώπου τοῦ ἀναδεξομένου τὴν ἀρχιερατικὴν προστασίαν καὶ ποιμαντορικὴν ῥάβδον τοῦ ἁγιωτάτου... α΄. μὲν ἐθέμεθα τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κῦρ Διονύσιον, προεστῶτα χρηματίσαντα τῆς εἰς Ὑψωμαθεῖα ἱερᾶς ἐκκλησίας τοῦ ἁγίου Μηνᾶ, β΄. τὸν Νικόδημον, καὶ γ΄. τὸν Κωνστάντιον, ὧν τὰ ὀνόματα κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον. Ἐν ἔτει σωτηρίῳ ᾳωιζ΄ κατὰ μῆνα μάϊον ἐπινεμήσεως ε΄.

† Ἐφέσου *Διονύσιος*, ἔχων καὶ τὴν γνώμην τοῦ πανιερωτάτου ἁγίου Δέρκων κῦρ *Γρηγορίου*. † Κυζίκου *Κωνστάντιος*. † Νικομηδείας *Ἀθανάσιος*, ἔχων καὶ τὴν γνώμην τοῦ πανιερωτάτου γέροντος καὶ συναδελφοῦ ἁγίου Ἡρακλείας κῦρ *Μελετίου*. † Χαλκηδόνος *Γεράσιμος*. †Βερροίας *Ζαχαρίας*. †Πατρῶν *Γερμανός*, ἔχων τὰς γνώμας τοῦ τε ἁγίου Νικαίας κῦρ *Ἰωαννικίου*, τοῦ ἁγίου Προύσης κῦρ *Ἰωαννικίου*, τοῦ ἁγίου Δράμας κῦρ *Παρθενίου* καὶ τοῦ ἁγίου Μηθύμνης κῦρ *Παναρέτου*.

ΠΑΡΑΡΤΗΜΑΤΟΣ

Α΄.

Ἀπὸ τοῦ 1740 ἔχω ἤδη κατηρτισμένην σειρὰν τῶν ἀρχιεπισκόπων Ῥέοντος καὶ Πραστοῦ, ἣν δὲν θεωρῶ ἄσκοπον νὰ παραθῶ ἐνταῦθα πρὸς χρῆσιν τῶν μελλόντων νὰ γράψωσί τι περὶ Πελοποννήσου, ἢ τῆς ἐπαρχίας ταύτης.

Ἀντὶ τοῦ ἀποθανόντος *Παρθενίου*, ἐκλέγεται ἐν τῷ ναῷ τοῦ περιγραφομένου ὑπ' ἐμοῦ χωρίου ὁ ἱερομόναχος *Νεκτάριος* (ἰούλιος 1751).

Τῷ 1771 ὁ ὁσιώτατος ἐν ἱερομονάχοις *Ἱερεμίας* (ἐφ' οὗ ἐξώσθησαν οἱ ἐν Πελοποννήσῳ ἀρχιερεῖς). Τούτου παραιτησαμένου τῷ 1774, ὁ ἱερομόναχος *Μεθόδιος* (κατὰ ἰούλιον). Εἶτα ἔρχεται ὁ *Μακάριος*, οὗ δόντος οἰκειοθελῶς παραίτησιν κατὰ 1780, ὁ *Ἰωσήφ*.

Τούτου παραιτησαμένου ἐπίσης τὸν ἰούνιον τοῦ 1784 ἐκλέγεται ὁ ἱερομόναχος *Ἰγνάτιος*. Εἶτα ἀπαντᾷ Ῥέοντος καὶ Πραστοῦ *Θεοδώρητος*, ὃν ἀποθανόντα τῷ 1803 κατ' ἀπρίλιον διαδέχεται ὁ μέγας ἀρχιμανδρίτης *Ἰάκωβος*. Τοῦτον ἐκμετρήσαντα τὸ ζῆν διεδέξατο ὁ πρώην μέγας πρωτοσύγκελλος *Διονύσιος*, περὶ οὗ ἐπὶ τῆς επανα-

στάσεως ζῶντος (ἀνάγνωθι σ. 75 τοῦ Β' τόμου Τῶν κατὰ τὸν ἀοίδιμον Γρηγόριον Ε'.)

Τὸ κάτωθι τὸ πρῶτον ἤδη δημοσιευόμενον σιγίλλιον, ἀποκείμενον ἐν τοῖς χειρογράφοις τῆς *Ἐθνικῆς βιβλιοθήκης*, ἐγένετο ἐπὶ τοῦ πολλοῦ Κυρίλλου τοῦ Λουκάρεως, πατριάρχου Κωνσταντινουπόλεως, τῷ 7120 ἀπὸ κ. κ. ἤτοι τῷ 1622. Εἶνε δὲ τὸ ἀρχαιότερον καὶ τὸ πρῶτον ἐπὶ τῇ οἰκοδομίᾳ τοῦ μοναστηρίου τοῦ ἁγίου Νικολάου τοῦ Μύρων τῆς Λυκίας. Ἐν αὐτῷ εἶνε συνυπογεγραμμένοι καὶ ὁ πατριάρχης Ἱερουσαλὴμ *Θεοφάνης*, καὶ ὁ Ἀντιοχείας *Κύριλλος*. Τὰ πανομοιότυπα τῶν ὑπογραφῶν τούτων ὅρα ἐν τῷ ὑπ' ἀριθ. 2 πίνακι.

ΚΥΡΙΛΛΟΣ *ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.*

† Ἴδιον ἐστὶ παντὸς κτήτορος καὶ ᾠκοδομηκότος οἰκοδομήματα, καὶ μάλιστα εἰ θεῖος καὶ ἱερὸς ναὸς μετὰ πέριξ κελλίων, εἴτε θεῖον μοναστήριον τὸ τοιοῦτον ὑπάρχει, μετὰ τὸ οἰκοδομῆσαι καὶ κατορθῶσαι καὶ ὑποκτήσασθαι, τοῦτο τὸ θεῖον ἔργον φροντίσαι ἐμπόνως, ὅπως αὐτὸ τηρηθείη καὶ φυλαχθείη εἰ δυνατὸν ἐσαεὶ καὶ διὰ παντός· τὸ γὰρ φυλάξαι τὰ κατορθωθέντα ἀγαθὰ οὐ ῥᾴδιον, ἀλλὰ καὶ τοῦ κτήσασθαι χαλεπώτερόν πως πολλάκις δοκεῖ. Καὶ οὐ μόνον ὅπως φυλαχθείη, ἀλλὰ καὶ αὐξηθείη εἰς δόξαν Θεοῦ καὶ ψυχικὴν σωτηρίαν τοῦ οἰκοδομήσαντος, καὶ εἰς ἄνεσιν καὶ παραμυθίαν καὶ σωτηρίαν ψυχῆς τῶν προστρεχόντων καὶ ἐνασκουμένων ἐν τούτοις. Γίνεται δὲ πάντως ἡ τοιαύτη διατήρησις καὶ διαμονὴ καὶ φύλαξις, ὅταν οἱ τοιοῦτοι θεῖοι ναοὶ καὶ τὰ περὶ αὐτοὺς κελλία προσηλωθῶσιν ὑπὸ τὴν σκέπην καὶ φυλακὴν καὶ συντήρησιν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τοῦ εἶναι σταυροπήγια πατριαρχικά, ἀνεπηρέαστα ὑπὸ πάντων, καὶ παντελεύθερα, καὶ ἀδούλωτα, μόνῃ τῇ Μεγάλῃ καὶ καθολικῇ Ἐκκλησίᾳ ὑποκείμενα. Ἐπεὶ τοίνυν καὶ ὁ ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Διονύσιος, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλῷ περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρὶ ἀνήγειρεν ἐκ βάθρων καὶ ἐκ θεμελίων μονὴν ἱερὰν ἐν τῇ ἐπαρχίᾳ Ῥέοντος, ἐν τῇ τοποθεσίᾳ *Σίτζα* καλουμένῃ, ἔνδον τοῦ *Γουδίου* καὶ *Λενιδίου*, ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ Θεῷ ἀφιερωμένων, ψυχικῆς σωτηρίας αὐτοῦ ἕνεκα, ναόν τε περικείμενον καὶ φιλότιμον κατεσκεύασεν καὶ κελλίων οἰκοδομάς, καὶ ἄλλα

τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῷ ψυχῶν, καὶ ἠξίωσε τανῦν ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγιλλιώδους γράμματος ἐπὶ τὸ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν πατριαρχικὴν περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε ἐπισκόπου Ῥέοντος, ὡς μηδεμίαν ἔχοντος ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν, ἢ ἀπαιτεῖν ἀπ' αὐτοῦ τὸ τυχόν. Τοίνυν τὴν τούτου προσδεξαμένη αἴτησιν ἡ μετριότης ἡμῶν ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ τοιαύτῃ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, γνώμῃ καὶ τῶν δύο μακαριωτάτων πατριαρχῶν, τοῦ τε Ἀντιοχείας κῦρ Κυρίλλου καὶ τοῦ Ἱεροσολύμων Θεοφάνους, καὶ τῶν λοιπῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ τοιαύτη θεία μονὴ τοῦ ἁγίου πατρὸς ἡμῶν Νικολάου τοῦ θαυματουργοῦ, ἡ ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ὁσιωτάτου ἐν ἱερομονάχοις κῦρ Διονυσίου, εὑρίσκηται ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, ὥστε μήτε ἄδειαν ἔχῃ[1] τὸν κατὰ καιροὺς ἐπίσκοπον Ῥέοντος, μήτε ἕτερόν τινα, μήτε ἐξουσίαν ἰδίαν καὶ αὐθεντίαν εἰσέρχεσθαι ἐν αὐτῇ κατὰ τούτου, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπαιτεῖν τὸ σύνολον ἀπ' αὐτοῦ, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυμένους (οὕτω)· ὀφείλοντος μόνον τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου λαμβάνειν τὸ διατεταγμένον κανονικὸν ἤτοι....[2], καὶ οἱ ἐκεῖσε εὑρισκόμενοι ἱερομόναχοι καὶ μοναχοὶ ὑπάρχωσι ὡς πατριαρχικοί, ἐλεύθεροι, καὶ ἀκαταδούλωτοι, ἔτι τε ἀναπαίτητοι, καὶ ἀνεξέταστοι, καὶ ὅλως ἀνεπηρέαστοι ἀπὸ πάντων, καὶ διάγωσι κοινοβιακῶς, μηδὲν ἴδιον ἔχοντες, ἀλλὰ πάντα κοινά, ζῶντες ἐν Χριστῷ εἰρηνικῶς καὶ σκανδάλων ἐκτός, ἔχοντες καὶ γνώμην φιλάδελφον καὶ κατὰ Θεόν, καὶ ὑπόκεινται μόνον τῷ κατὰ καιροὺς οἰκουμενικῷ πατριάρχῃ, καὶ παρ' αὐτοῦ ἀνακρίνονται καὶ ἐξετάζονται κανονικῶς, μνημονεύοντες τοῦ ὀνόματος τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου· τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πᾶσαν τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος, καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος, ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. Ὅταν δὲ χρεία γένηται χειρoτο-

[1] Γραπτέον *ἔχειν* βεβαίως.
[2] Ἡ μεμβράνη δολίως ἐλαίῳ ἀληλιμμένη.

νίας, ἐχέτωσαν ἄδειαν μετακαλεῖν ὃν ἂν ἐθελήσωσι ἀρχιερέα τὴν χειροτονίαν ἐκτελέσαι, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μὴ τολμῶντος τινὸς ἀργεῖν ἢ ἀφορίζειν αὐτούς, πλὴν τῆς ἡμῶν μετριότητος. Ἔτι ἀποφαινόμεθα, μηδεὶς τῶν ἱερέων τοῦ αὐτοῦ χωρίου Πραστείου τολμήσῃ ὅλως ἐμποδίσαι τοὺς βουλομένους ἀφιερῶσαι κτῆμα, ἢ πρᾶγμα ἐν αὐτῷ τῷ μοναστηρίῳ, ἵνα μὴ ὡς φθονεροὶ ἀργίᾳ καὶ ἀφορισμῷ ὑποπέσωσι. Πρὸς τούτοις, ὅσα ἀφιερώθησαν ἐν αὐτῷ τῷ μοναστηρίῳ, ἢ καὶ ἀπὸ τοῦ νῦν ἀφιερωθήσονται παρά τε τῶν ἐνασκουμένων ἱερομονάχων καὶ μοναχῶν,ὦσι ἀμετάβλητα ὡς κανονικὸν καὶ νόμιμον. Ἀλλ' οὐδέ τις ἴσως αὐτῶν ἐξερχόμενος καὶ ἀναχωρῆσαι βουλόμενος τολμήσῃ ἀποξενῶσαι τι τῶν ἀφιερωθέντων ἐν τῷ μοναστηρίῳ, ἵνα μὴ ὡς ἱερόσυλος ὑπ' ἀφορισμὸν εἴη ἄλυτον καὶ αἰώνιον. Ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ, τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ.Ἐν ἔτει ζρλ' μηνὶ ἀπριλίῳ ἰνδικτιῶνος ε'ης.

† *Κύριλλος* ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. † *Κύριλλος* ἐλέῳ Θεοῦ πατριάρχης τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας. † *Θεοφάνης* ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. † (Παλαιῶν Πατρῶν;) *Θεοφάνης*. † Θεσσαλονίκης. . . . . † Κυζίκου *Παρθένιος*. † Ρόδου *Ἰγνάτιος*. † Ραιδεστοῦ *Μελχισεδέκ*. † Διαυλείας καὶ Ταλαντίου. . . . . . † Ζιχείας . . . . . . † Ἀρχιεπίσκοπος.......... † . . . . . . *Γρηγόριος*. † Πρεσπῶν *Ζαχαρίας*.

Περὶ τοῦ Θεοφάνους ὅρα Δημητρακόπουλον Προσθῆκαι καὶ Διορθ. σ. 67.

Περὶ Κυρίλλου τοῦ Λουκάρεως σ. 67 αὐτόθι.

Κεφαλαίοις γράμμασιν ἐπὶ πλακὸς μαρμαρίνης ἐντὸς τοῦ ναοῦ εὕρηται τόδε τὸ ἐπιτύμβιον :

ΕΝ ΕΤΕΙ : ΑΨΞϚ□ΙΑΝΟΥΑΡΙΟΥ : Ε
ΤΥΜΒΟϹ ΔΟΜΟΥΤϹ ΚΡΥΠΤΕΗΕΔΕΜΑϹ ΤΖΑ[νῆ
ΠΑΙΔΟϹ ΦΙΛΤΑΤΟΥ ΑΝΤΙΟΧΟΙΟ ΓΕ ΜΟΥΡΟΥ[ζη
ΗΔΕ ΜΑΡΙΩΡΗϹ ΧΡΥϹΟϹΚΟΥΛΗΗϹ ΟΙ[χου
ΠΑΡΘΕΝΙΗΝ Τ ΕΠΙΕΙΜΕΝΟΝ ΛΥΛΗΑΠΑΙΔΕΙΜΙϹ
ΑΦΝΩ ΑΩΡΟΝ ΤΟΝΔ ΕΞΙΡΠΑϹΕ ΚΗΡ ΘΑΝΑΤΟΙΟ
ΝΥΝ ΔΕ ΓΕ ΝΑΙΕΙ ΟΥΡΑΝΟΙϹ ΔΗΠΟΥ ΠΑϹΤΑϹΙ

Τὰς ἐν τῷ 5 στίχῳ μετὰ τὸ *Παρθενίην τ' ἐπιειμένον*, οὗ ἀνάλογον τὸ γνωστότατον ὁμηρικόν, λέξεις καὶ γράμματα δὲν ἠδυνήθην νὰ ἐννοήσω, οὐδὲ θέλω νὰ προβῶ εἰς εἰκοτολογίας.

Περὶ τῆς ἐπισήμου οἰκογενείας τῶν Χρυσοσκουλαίων, ἥτις ἔδωκε καὶ ἀρχιερεῖς Κυζίκου, καὶ λαϊκοὺς *ὀφφικιάλους* κλ., ἔγραψεν ὁ φίλος κ. Μ. Γεδεὼν ἐν τῷ περιοδικῷ Κων/πόλεως *Κόσμῳ* (τ. Α', φυλλ. 34). Ὅρα Χρυσοσκουλαίων ὀνόματα καὶ παρὰ Σάθᾳ *Νεοελλ. Φιλολ.* σ. 386, *Μεσαιων. Βιβλιοθήκ.* τ. Γ', σ. 167, 240, 249. 533. *Ῥάλλης* ἀνὴρ εὐσεβὴς καὶ φιλοδίκαιος, κατὰ Μακραῖον, παρ' ᾧ ἐκρύβη ὁ πρώην πατριάρχης Καλλίνικος ὁ Δ', ὁ ἀπὸ Προϊλάβου. *Ἰωαννάκης* ὁ Χρυσοσκουλαῖος, οὗ ἡ θυγάτηρ Σουλτάννα εἶχε σύζυγον Ἀλέξανδρον τὸν περικλεέστατον Μαυροκορδᾶτον. *Δημητράσκος*, καὶ *Ἰωάννης* Χρυσόσκουλος, ἐπίσης ἐν σιγιλλίῳ τῆς Μ. Σχολῆς τοῦ 1691 ἐπὶ Καλλινίκου τοῦ Ἀκαρνᾶνος, ὑπογέγραπται *Κωνσταντῖνος* Χρυσόσκουλος· καὶ ἐν πατριαρχ. κώδιξιν εὗρον *Χρυσόσκουλον* μέγαν σκευοφύλακα (ἀπὸ τὰ 1640).

Ἕτερά τινα ἐπιτύμβια μετὰ δυσκολίας πολλῆς μόλις ἀνέγνων.

εἰπε ταχεω
Cτυμβε οτι κατέχεις οστα κ
ατέχω Ζωης
τῆς σκυζου κη
δωνιου ναν (;)
ωψ συνεύνου
τε τή ηκτο
δαυ της π
σφια

Ἐνθαδε κεῖται ἡ Πλουχερία φίλη
σύζυγος Μάνου του Τζανιμεί
λου ισπαθαρίου αψξς'. δεκεμβρί :

Σημ. Παρατηρητέος ὁ ἀναγραμματισμὸς τοῦ *Πουλχερία*.

ΠΡΟΣΘΗΚΑΙ

Ἦσαν ἤδη τὰ ἐν σελ. 7—13 περὶ τῆς Μάρθας καὶ τοῦ Μιχαὴλ Γλαβᾶ δεδημοσιευμένα, ὅτε παρετήρησα ὅτι ὁ ἄρχων Μ. Λογοθέτης κ. Ἀριστάρχης ἐν τῷ ἀρχαιολογικῷ παραρτήματι τοῦ περιοδικοῦ τοῦ ἐν Κων/πόλει *Ἑλλ. Φ. Συλλόγου* ποιεῖται ὁμοίως λόγον καὶ περὶ τοῦ Γλαβᾶ (σ. 36), ἀλλ' ὑπὸ ἑτέραν ὄψιν ἐξετάζων τὰ περὶ τῆς κτίσεως τῆς μονῆς τῆς Παμμακαρίστου (Πασπάτη Βυζ. Μελ. σ. 299).

Ἐν σελ. 10 προσθετέον ὅτι ὁ Γλαβᾶς οὐχὶ μόνον φιλάρετος ἀλλὰ καὶ φιλομόναχος ἱστορεῖται (Παχυμ. τ. Β', σ. 183).

Εἰς τὰ ἀπὸ σελ. 55 περὶ τῆς μουρουζικῆς οἰκογενείας προσθετέον ὅτι ὁ Langlois, οὗ τὸ σύγγραμμα οὐχὶ ἅπαξ ἐμνημόνευσα, ἀναφέρει περὶ τῶν ταῖς μοναῖς τοῦ Ἄθω ἐπικεχορηγημένων ὑπὸ τῆς οἰκογεγενείας ταύτης διαφόρων χρυσοβούλλων.

Ἡ ἐν σελ. 37 μνημονευομένη πρὸς τοὺς ἁπανταχοῦ συνοδικοὺς ἐγκύκλιος ὑπὲρ βοηθειῶν πρὸς ἀνοικοδόμησιν τοῦ πυρποληθέντος ναοῦ τῆς Ἀναστάσεως, εὕρηται νεωστὶ ἐν τοῖς ἀρχείοις τοῦ Παναγίου Τάφου, ὡς ἀνακοινοῦταί μοι ὁ φίλος κ. Παπαδόπουλος Κεραμεύς, *εἰς φύλλον μέγα ἓν ἐν διστήλῳ, ἔντυπος, ἄνευ χρονολογίας.* Ἡ δ' αὐτὴ εὕρηται καὶ ἔντυπος εἰς γλῶσσαν τουρκικὴν εἰς φύλλον ἓν μέγα δίστηλον, ἀλλ' ἄνευ χρονολογίας.

Ἐπίσης ἐγκύκλιος συνοδικὴ περὶ τῆς αὐτῆς ὑποθέσεως *πρὸς τοὺς κατοίκους Κωνσταντινουπόλεως ᾳωη', ἔντυπος εἰς μέγα φύλλον καὶ ἐν μονοστήλῳ.*

Ηὐτύχησα ἐπὶ τέλους νὰ εὕρω ἐν τῇ σοφῇ Γερμανίᾳ ἀντίτυπον σπανίου γερμανικοῦ βιβλίου, ὅπερ ἐπιγραφόμενον «Στεφάνου Γερλαχίου τοῦ Πρεσβυτέρου Tage-Buch» ἐξεδόθη τῷ 1674 εἰς 4ον ἐν Φραγκφούρτῃ ὑπὸ τοῦ ἐκγόνου αὐτοῦ Σαμουὴλ τοῦ Γερλαχίου. Ἐν τῇ ἀξιολόγῳ ταύτῃ βίβλῳ ἐν 552 σελίδι τεθησαυρισμέναι εἰσὶ πλεῖσται ἐνδιαφέρουσαι εἰδήσεις τοῦ ἐν Ἀνατολῇ καὶ ἰδίᾳ ἐν Κων/πόλει ἐπὶ ἑξαετίαν σχεδὸν διατρίψαντος Στεφάνου τοῦ Γερλαχίου (1573—1578). Στέφανος ὁ Γερλάχιος εἶνε γνωστὸς τοῖς ὁπωςδήποτε τρίβωσι τῆς νεωτέρας ἱστορίας. Ἦτο ἱεροκῆρυξ ἀκολουθήσας τῷ πρεσβευτῇ τῆς ρωμαϊκῆς αὐλῆς Δαβὶδ φὸν Ungnad εἰς τὴν πρωτεύουσαν τῶν Ὀσμανιδῶν πόλιν. Ἐν ταύτῃ ἀνεστράφη τοῖς τότε λογίοις τοῦ πολυτλήμονος ἡμῶν Γένους, ἀρχιερεῦσι καὶ πατριάρχαις, μεθ' ὧν πολλάκις καὶ περὶ σπουδαίων ζητημάτων συνεζήτησεν, ὡς δύναται ὁ βουλόμενος νὰ παρατηρήσῃ ἐν τῇ εἰρημένῃ βίβλῳ. Ἐχρημάτισε, μετὰ τὴν εἰς Βυρτεμβέργην ἐπάνοδον αὐτοῦ, καθηγητὴς τῆς Θεολογίας ἐν τῷ τῆς Τυβίγγης περικλεεῖ πανεπιστημίῳ, ἐν ᾧ τοσοῦτοι φιλελληνικώτατοι καθηγηταὶ ἐδίδασκον. Ὁ ἐν Βενετίᾳ ἡμέτερος ἀρχιεπίσκοπος Φιλαδελφείας *Γαβριὴλ* ἐπιστέλλων τῷ *σοφωτάτῳ καὶ λογιωτάτῳ* Μαρτίνῳ τῷ Κρουσίῳ τῇ ζ' ἀνθεστηριῶνος τοῦ ᾳφπ' λέγει: «*προσειρήσθωσάν μοι πάντες οἱ αὐτόθι* (ἐν Τυβίγγῃ) *φιλέλληνες, ἐξόχως δὲ ὁ σοφός τε καὶ κλεινὸς Στέφανος ὁ Γερλάχιος*» (Turco-graec. σ. 522. Ὅρα καὶ ἀπάντησιν τοῦ Κρουσίου αὐτόθι σ. 524 κ. ἀλλ.).

Ὁ τοῦ ἁγίου Δημητρίου ναός, εὑρίσκω ἐν τῇ 99 σελ. τοῦ ἀνωτέρω συγγράμματος, ἕνεκα τοῦ φερωνύμου ἁγιάσματος ἰδίας ἀπήλαυσε παρὰ τοῖς χριστιανοῖς προσκυνήσεως. Ἕνεκα τούτου, λέγει Στέφανος ὁ Γερλάχιος, μέγα πλῆθος προσκυνητῶν κατ' ἔτος συρρέει αὐτόσε. Ὁ Ρουστὰν πασσᾶς[1] ἐκδεδηλωμένος τῶν χριστιανῶν ἐχθρὸς διέταξε τὴν καταστροφὴν τοῦ ναοῦ· ἀλλὰ κατὰ τὰ ὑπὸ τῶν Ἑλλήνων (Griechen) λεγόμενα, ἐπάγεται ὁ ἐπισκεψάμενος τὸ χωρίον Γερλάχιος, ὁ πασᾶς ἀσθενήσας ἀμέσως ἀπέθανε. Μέχρι τῆς σήμερον κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου πλεῖστοι ὅσοι προσέρχονται εἰς τὸν ναὸν καὶ τὸ ἁγίασμα, οὗ τὸ ὕδωρ πίνουσι διὰ τὸν πυρετόν. Ἕνεκα τούτου βλέπει τις ὅτι καὶ γυναῖκες τῶν πασάδων αὐταὶ αὗται προσέρχονται συνεχῶς καὶ πίνουσιν ἐξ αὐτοῦ. Ὁ Γερλάχιος ἀναφέρων ταῦτα προστίθησιν ὅτι ὀλίγας ἡμέρας πρὸ τῆς εἰς τὸ χωρίον ἐπισκέψεως αὐτοῦ (22 ἰουν. 1575) ὁ υἱὸς τοῦ Πιαλῆ πασᾶ[2] ἐπεσκέψατο τὸ ὑπὸ πλινθόκτιστον θόλον ὑπὸ τὴν γῆν διῆκον ἁγίασμα καὶ ἐδωρήσατο τῷ ἱερεῖ τάληρά τινα. Λέγει προσέτι, ὅτι ὑπῆρχεν ὄπισθεν τοῦ ναοῦ μικρὸς οἰκίσκος μονώροφος, ἐν ᾧ κατῴκει ὁ ἱερεύς, ὅτι ἐν τῷ ναῷ εὗρε τὰς εἰκόνας τοῦ Χριστοῦ, τῆς Θεοτόκου καὶ τοῦ ἁγίου Δημητρίου, ἐφ' ὧν ἐκρέμαντο διάφορα ἀφιερώματα ἐξ ἀργύρου χειρῶν

[1] Γραπτέον νομίζω Ῥουστὲμ-πασσᾶς, ὅστις ἐβεζίρευσε τῷ 1541—53, καὶ αὖθις τῷ 1555 ἕως τῆς τελευτῆς αὐτοῦ τῷ 1561 (Σ. Βυζαντ. Κωνσταντινούπ. τόμ. Β', σ. 414).

[2] Ὁ Πιαλῆ (ὁ καὶ Κιλίτς-Ἀλῆ) πασᾶς ὑπῆρξεν εἷς τῶν ἐπισημοτέρων ἀρχιναυάρχων τοῦ ὀθωμανικοῦ κράτους. Οὗτος διαπλέων ἐν ἔτει 1550 τὸν ἑπταστάδιον τῆς Σάμου πορθμόν, καὶ ἀναμαθὼν παρὰ τοῦ πρωράτου τῆς ναυαρχίδος Νικολάου Σαρακήνη, διακεκριμένου ναυτικοῦ τῆς Πάτμου, ὅτι ἡ Σάμος ἦτο ἤδη ἐξῳκισμένη ἀπὸ τῶν χρόνων τῶν τελευταίων Παλαιολόγων, τῶν κατοίκων αὐτῆς εἰς Χίον μετοικισθέντων, ἐνήργησε τὸν ἐκ νέου συνοικισμὸν αὐτῆς, ἀναθεὶς τὴν περὶ τούτου φροντίδα εἰς αὐτὸν τοῦτον τὸν Ν. Σαρακήνην. Οὗτος δὲ διαφόρους τόπους περιελθὼν συνήγαγε τοὺς νέους ἀποίκους καὶ ἐγκατέστησεν αὐτοὺς εἰς τὴν νῆσον, οἵτινες καὶ μέχρι σήμερον διακρίνονται ἀπ' ἀλλήλων ἐκ τῶν ὀνομάτων τῶν κωμῶν αὐτῶν. Εἰς ἀνταμοιβὴν δὲ τῶν πρὸς συνοικισμὸν τῆς νήσου ὑπηρεσιῶν τοῦ εἰρημένου Ν. Σαρακήνη, ἐδωρήσατο αὐτῷ ἡ σουλτανικὴ κυβέρνησις πάσας τὰς ἐντεῦθεν τοῦ ποταμοῦ Ἰμβράσου πρὸς μεσημβρίαν ἐκτεινομένας πεδινὰς καὶ ὀρεινὰς γαίας, αἵτινες ἐκ διαθήκης αὐτοῦ περιῆλθον εἰς τὴν κυριότητα τῆς ἐν Πάτμῳ ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. Σώζεται δ' ἔτι μικρὸν ἄπωθεν τοῦ Ἡραίου (τανῦν Κολώνας) καὶ ὁ ὀχυρὸς πύργος, ὃν ὁ Σαρακήνης αὐτόθι ἀνήγειρεν ἔκτοτε.

Τὴν ἀνωτέρω σημείωσιν παρέσχε μοι καλοκἀγάθως ὁ σεβαστός μοι κ. Ἰ. Σακκελίων.

καὶ ποδῶν ἀνθρώπων, ὅτι δὲ ὁ μοναχὸς εἶχεν εἰς τὴν χρῆσιν αὐτοῦ τὴν Λειτουργίαν τοῦ ἁγίου Βασιλείου, τὸ Ψαλτήριον, τὸ Ὡρολόγιον καὶ ἄλλα βιβλία, ἅτινα ἔχουσιν οἱ χριστιανοὶ εἰς τὰς ἑαυτῶν ἐκκλησίας.

Ἂς προσθέσω ἐνταῦθα ὅτι ὁ Γερλάχιος ὀνομάζει τὸ Ὀρτάκιοϊ (χωρίον ἁγίου Φωκᾶ) Juden Dorf=χωρίον τῶν Ἰουδαίων.

Β. Α. Μυστακίδης.

ΕΠΙΤΥΜΒΙΟΝ

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΤΟΝ ΒΟΥΛΓΑΡΟΚΤΟΝΟΝ

Ἐν χειρογράφῳ τῆς ἐθνικῆς ἡμῶν βιβλιοθήκης ἀνήκοντι ἄλλοτε τῇ κατὰ τὴν Θεσσαλίαν εὐαγεῖ μονῇ τῶν Μεγάλων Πυλῶν, τῇ ἐπ' ὀνόματι μὲν τοῦ Σωτῆρος Χριστοῦ τιμωμένῃ, ἐπικεκλημένῃ δὲ *Τοῦ Δουσίκου*, εὕρηται τὸ κατωτέρω δημοσιευόμενον Ἐπιτύμβιον. Τὸ χειρόγραφον σχήματος ὂν ὀγδόου μικροῦ καὶ ἐκ φύλλων 492 συγκείμενον φαίνεται γεγραμμένον κατ' ἀρχομένην τὴν ΙϚ' ἑκατονταετηρίδα, καὶ περιέχει συλλογὴν τῶν ἐκκλησιαστικῶν Ἀκολουθιῶν κτλ. τοῦ ὅλου ἐνιαυτοῦ, ὡς καὶ τὸ τοῦ ἁγίου Σάββα Τυπικόν. Ἐν δὲ τῷ 30ῷ φύλλῳ αὐτοῦ εὕρηται τὸ Ἐπιτύμβιον, περὶ οὗ ὁ λόγος, οὕτως ἐπιγραφόμενον: *Στίχοι ἐπιτύμβιοι εἰς βασιλέα.* Τούτων δ' ἐν τέλει προσέθηκεν ὁ ἀντιγραφεὺς καὶ τὸ ἐν τῇ αὐτοκρατορικῇ χρυσῇ σφραγῖδι, τῇ συνήθως ἐν τοῖς βασιλικοῖς θεσπίσμασι προσαρτωμένῃ (ἐξ οὗ καὶ χρυσόβουλλα ἐπεκλήθησαν ταῦτα) ἐμφερόμενον δίστιχον, ὅπερ ὡς ἴδιον παρὰ τὸν συνήθη ἔχον τύπον, ἐστὶν ὄντως περίεργον.

Τοῦ ἐπιτυμβίου τούτου δέκα μόνον στίχους, πολλὰς ἔχοντας τὰς διαφοράς, ἐξέδωκεν, οὐκ οἶδ' ὁπόθεν λαβών, ὁ τῆς *Κωνσταντινουπόλεως* συγγραφεὺς Σ. Δ. Βυζάντιος[1]. Ἀλλὰ τὸ ἐν τῷ ὑπ' ὄψιν ἡμῶν χειρογράφῳ σύγκειται ἐκ στίχων δέκα καὶ ὀκτώ. Τὰς δὲ διαφορὰς τῶν ἐκδεδομένων ὑποδεικνύω ἐν τῇ πέζῃ, τῷ στοιχείῳ Β παρασημαίνων.

Ἐτελεύτησε δὲ ὁ Βασίλειος τῇ 15 Δεκεμβρίου τοῦ 1026 ἔτους, καθ' ἃ Κεδρηνὸς ἱστορεῖ[2], «ζήσας μὲν ἔτη 70, καὶ τὰ πάντα βασι-

[1] Τόμ. Α', σελ. 361.

[2] *Σύνοψ. Ἱστορ.* σελ. 480. Paris.

λεύσας, ἐπὶ χρόνους δὲ 50 τὴν αὐτοκράτορα διιθύνας ἀρχήν. Ταφῆναι δὲ παρεκάλεσε τὸν ἑαυτοῦ ἀδελφὸν [Κωνσταντῖνον], ὃν καὶ διάδοχον κατέλιπε τῆς ἀρχῆς, ἐν τῷ κατὰ τὸ Ἕβδομον ναῷ τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου· ὃ δὴ καὶ γέγονεν».

Ἀλλ' ἐν τοῖς ὑστέροις χρόνοις, ὅτε οἱ Λατῖνοι παρασπόνδως καὶ λῃστρικῶς κατέσχον τὴν βασιλίδα πόλιν, οὐ μόνον τὸν τοῦ Θεολόγου ναὸν ἀσεβῶς κατήρειψαν, ἀλλὰ καὶ αὐτὸν τοῦ μεγαθύμου καὶ ἡρωϊκοῦ βασιλέως τὸν τάφον βανδαλικῶς ἐτυμβωρύχησαν, καὶ τὸ περιεχόμενον λείψανον εἰς ἐμπαιγμὸν καὶ κατάγελων ἐκεῖ που ἔστησαν. Καὶ ἰδοὺ τί περὶ τούτου διηγεῖται ὁ ἱστοριογράφος Γεώργιος ὁ Παχυμέρης[1].

«Τότε δέ τινες τῶν οἰκείων τῷ βασιλεῖ [Μιχ. τῷ Παλαιολόγῳ] κατ' ἄνεσιν διατριβῆς ἐξελθόντες ἐπέστησαν τῇ κατὰ τὸ Ἕβδομον τοῦ Θεολόγου μονῇ, ὄνομα μόνον, οὐ σχῆμα σωζούσῃ μονῆς, καὶ τὸν ἐκεῖσε ναὸν εἰσελθόντες, ἠρειμένον καὶ τοῦτον καὶ εἰς θρεμμάτων ἔπαυλιν ὄντα, καὶ τῇδε κἀκεῖσε περιβλεπόμενοι, καὶ τὸ ποτὲ τοῦ ναοῦ κάλλος ἐκ τῶν λειψάνων θαυμάζοντες (ἦσαν δ' οὗτοι οἱ περὶ τὸν Ἰατρόπουλον Δημήτριον καὶ λογοθέτην τότε τῶν οἰκειακῶν) ὁρῶσιν αἴφνης κατὰ γωνίαν ἱστάμενον ἀνδρὸς πάλαι τεθνεῶτος λείψανον, ὁλόκληρον καὶ τὸ πᾶν ὁλομελές, γυμνὸν ἐς πόδας ἐκ κεφαλῆς. Εἶχε δὲ καὶ ἐπὶ στόματος καλάμην ποιμενικῆς σύριγγος, εἰς χλεύην τινῶν οὕτω ποιησάντων, οἷς ἔμελλε θρεμμάτων. Ὡς δ' ἰδόντες ἐθαύμαζον μὲν τὴν τοῦ λειψάνου ὁλομέλειαν, διηπόρουν δὲ οὗτινος ἂν καὶ εἴη ὁ πεπηγὼς ἐκεῖνος καὶ ἔτι εἰς σῶμα συνιστάμενος χοῦς, ὁρῶσιν ἐκ δεξιῶν τὸ κενήριον, καὶ ἐπ' αὐτῷ γεγραμμένους στίχους δηλοῦντας τὸν κείμενον. Ἦν οὗτος, ὡς ἐδήλου τὰ γράμματα, ὁ Βουλγαροκτόνος Βασίλειος. Ὡς δ' ὑποστρέψαντες σφίσι τὸ θεαθὲν τῷ βασιλεῖ προσανέφερον, οἰκτίζεται αὐτίκα ὁ βασιλεὺς καὶ πέμψας σηρικὰ χρυσόσημα πέπλα, ἔτι δὲ ἐξαποστείλας τοὺς ὑμνοπόλους σὺν οὐκ ὀλίγοις ἄρχουσιν, ὑπὸ πολλῇ τιμῇ καὶ δορυφορίᾳ, ψαλμοῖς καὶ ὕμνοις ἀνακομίζεται ἐν θήκῃ τιμίᾳ πρὸς τὸν Γαλατᾶν τὸ λείψανον, κἀκεῖ προστάττει τῷ ἀδελφῷ σεβαστοκράτορι ἐνθεῖναι τῇ σφετέρᾳ σκηνῇ τὴν θήκην, πέπλοις τε χρυσοῖς ὑπ' ἀκοιμήτῳ φωτὶ ἐχόμενα τῆς ἐκείνου στρωμνῆς θέντα τιμᾶν τοῖς προσήκουσιν, ἕως ἐκεῖθεν ἀναχωρούντων αὐτῶν εἰς Σηλυβρίαν ἐντίμως καὶ λαμπρῶς μετακομίσαντες ἐν τῇ τοῦ Σωτῆρος καταθεῖναι μονῇ».

[1] *Μιχ. Παλαιολ.* Β', κα'.

Στίχοι ἐπιτύμβιοι βασιλέως

Ἄλλοι μὲν ἄλλους[1] τῶν πάλαι βασιλέων
Αὐταῖς[2] προαφώρισαν εἰς ταφὴν τόπους[3].
Ἐγὼ δὲ Βασίλειος πορφύρας γόνος,
Ἵστημι[4] τύμβον ἐν τόπῳ[5] γῆς Ἑβδόμου,
Καὶ σαββατίζω τῶν ἀμετρήτων πόνων[6],
Οὓς ἐν μάχαις ἔστεργον, οὓς ἐκαρτέρουν.
Οὐδεὶς γὰρ οἶδεν[7] ἠρεμοῦν ἐμὸν δόρυ,
Ἀφ' οὗ βασιλεὺς οὐρανῶν[8] κέκληκέ με
Αὐτοκράτορα γῆς μέγαν[9] βασιλέα·
Ἀλλ' ἀγρυπνῶν ἅπαντα τῆς ζωῆς χρόνον,
Ῥώμης τὰ τέκνα τῆς Νέας ἐρυόμην,
Ποτὲ στρατεύων ἀνδρικῶς πρὸς Ἑσπέραν,
Ποτὲ πρὸς αὐτοὺς τοὺς ὅρους τοὺς τῆς Ἕω,
Ἱστῶν τρόπαια πανταχοῦ γῆς μυρία.
Καὶ μαρτυροῦσι ταῦτα Πέρσης, καὶ Σκύθης[10],
Σὺν οἷς Ἰσμαήλ, Ἀβασγός, Ἴβηρ, Ἄραψ.
Καὶ νῦν ὁρῶν, ἄνθρωπε, τὸν[11] τύμβον,
Εὐχαῖς ἀμείβου ταῖς ἐμαῖς στρατηγίαις[12].

Σφράγισμα τοῦ χρυσοβούλλου αὐτοῦ.

Βασίλειος μέγιστος Βουλγαροκτόνος[13]
Ἔχων ἀδελφὸν δεσπότην Κωνσταντῖνον.

Ι. ΣΑΚΚΕΛΙΩΝ.

[1] Β. *ἄλλη.*
[2] Γραπτέον: *αὐτοῖς.*
[3] Β. *τόπους προηυτρέπισαν . . . ξένους.*
[4] Β. *εἴσιμι.*
[5] Β. *μέσῳ.*
[6] Β. *τοὺς ἀμ. πόνους.*
[7] Β. *οὐκ ἄρ τις εἶδεν* (ὀρθότερον δὲ τὸ: *εἶδεν*).
[8] Β. *βασιλέα γὰρ θεός.*
[9] Τὸ χειρόγρ.: *μέγα.*
[10] *Β. Σκύθαι τε Πέρσαι.*
[11] Χωλαίνει ὁ στίχος, δισυλλάβου λέξεως προδήλως ἐκρυείσης ἐντεῦθεν· εἴη δ' ἂν αὕτη ἡ: *ἐμόν.*
[12] Γραπτέον οἶμαι κατ' αἰτιατικήν: *τὰς ἐμὰς στρατηγίας.*
[13] Τὸ χειρόγρ.: *Βουλγαροχθόνος.*

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΤΟΥ ΙΑ' ΤΟΜΟΥ ΤΟΥ «ΠΑΡΝΑΣΣΟΥ»

ΦΙΛΟΛΟΓΙΑ

ΑΡΧΑΙΟΛΟΓΙΚΑ

ΙΣΤΟΡΙΑ

ΚΟΙΝΩΝΙΚΑ, ΠΟΛΙΤΕΙΑΚΑ, ΕΠΙΣΤΗΜΟΝΙΚΑ

ΦΙΛΟΛΟΓΙΚΟΣ ΣΥΛΛΟΓΟΣ ΠΑΡΝΑΣΣΟΣ

ΝΕΚΡΟΛΟΓΙΑ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΣΥΝΤΑΚΤΩΝ

ΤΟΥ ΙΑ' ΤΟΜΟΥ ΤΟΥ «ΠΑΡΝΑΣΣΟΥ»

Μ. Α. Βάϊερ, Ἰωακεὶμ Βαλαβάνης, Δημήτριος Βικέλας, Στέφανος Α. Βλαστός, Φερδινάνδος Γιράρδης, Ἰ. Γούσης, Ἰ. Ε. Διαμαντόπουλος, Ἰάκωβος Χ. Δραγάτσης, Μαργαρίτης Εὐαγγελίδης, ὁ Κερ-'κύρας Εὐστάθιος, Περικλῆς Γ. Ζερλέντης, Δ. Ε. Ἠλιόπουλος, Καλλιόπη Κεχαγιᾶ, Φραγκίσκος Δὲ-Μέντος, Ἰγνάτιος Μοσχάκης, Β. Ἀ. Μυστακίδης, Κ. Α. Παλαιολόγος, Ἀν. Χ. Παπαδῆμος, Ἀ. Ποθητός, Ἰωάννης Σακκελίων, Γ. Μ. Σακόρραφος, Π. Σέκερης, Ἰ. Ἀ. Τυπάλδος, Π. Ἰ. Φ., Σπυρίδων Χασιώτης, Ἀ. Κ. Χούμης.